www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Ἀκολουθία τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Βλασίου Ἐπισκόπου Σεβαστείας τοῦ Θαυματουργοῦ

Ψαλλομένη τῇ 11η Φεβρουαρίου

Συγγραφεῖσα ὑπὸ Ἀγαπίου Μοναχοῦ τοῦ Κρητὸς

Ἐκδοθεῖσα ἐγκρίσει τῆς Ἱ. Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος τῷ 1970

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ψάλλομεν στιχηρὰ προσόμοια γ΄.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἐν φωναῖς ἀλαλάξωμεν, ἐν ᾠδαῖς εὐφημήσωμεν, τὸ Σεπτὸν κειμήλιον τοῦ Θεοῦ ἡμῶν, Ἱεραρχῶν τὸ θησαύρισμα, Μαρτύρων τὸ καύχημα καὶ παθῶν ἐκμειωτήν, τῶν δαιμόνων ἀντίπαλον, καὶ συνόμιλον, τῶν ἁγίων Ἀγγέλων, τῆς τε ἄνω καὶ τῆς κάτω βασιλείας, τὸν θεῖον Βλάσιον σήμερον.

Ἱερέων ὁ σύλλογος, ἀθλοφόρων τὸ σύνταγμα, δεῦτε εὐφημήσωμεν θείοις ᾄσμασι, τὸν Ἱερόαθλον Βλάσιον. Τὸ ἄνθος τῆς φύσεως, τῶν πιστῶν τὴν καλλονήν, καὶ τὸ μέγα προπύργιον τῶν τελούντων σου, τὴν πανέορτον μνήμην ἐτησίως, ἱεραῖς δοξολογίαις καὶ ἐπαγρύπνοις δεήσεσι.

Ἱερέων ἐν χρίσμασι, καὶ μαρτύρων ἐν αἵματι, τῷ Θεῷ προσήγαγες τελεώτατα, σαυτὸν ὡς θῦμα εὐπρόσδεκτον, ἀοίδιμε Βλάσιε, Ἱερέων ἡ κρηπίς, καὶ ἡμῶν καταφύγιον τῶν τελούντων σου, τὴν πανσέβαστον μνήμην ἐτησίως, καὶ τιμώντων θείοις ὕμνοις, τὴν μακαρίαν σου ἄθλησιν.

Δόξα ἦχος β΄.

Δεῦτε φιλομάρτυρες πάντες, τὸν Ἱερομάρτυρα τοῦ Χριστοῦ, θεῖον

www.tezaurliturgic.ro

Βλάσιον εὐφημήσωμεν. Τῶν γὰρ τυράννων τὰς ἀπειλάς, ὡς οὐδὲν λογισάμενος, τὸν στέφανον παρὰ Χριστοῦ ἐκομίσατο· ὃ καὶ νῦν παριστάμενος, πρεσβεύει ἀπαύτως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν ἱερὰν αὐτοῦ ἄθλησιν.

**Καὶ νῦν Θεοτοκίον.**

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς Χάριτος ἐλθούσης, ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες καὶ Παρθένος ἔμεινες, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Ἀπόστιχα ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Ὕμνοις σου τὴν σεπτήν, καὶ λαμπροφόρον μνήμην, τελοῦντες Ἱεράρχα, ὦ Βλάσιε θεόφρων, διὸ ἡμᾶς νῦν φύλαττε.

**Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.**

Ὢ θαύματος καινοῦ, καὶ μυστηρίου ξένου, τὰ λείψανα ἁγίων, ἰάσεις ἐκτελοῦσι, καὶ θαύματα παράδοξα.

**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.**

Στίφη νῦν τῶν πιστῶν, καὶ εὐσεβῶν χορεῖαι, ἀσπάσασθε προθύμως, τοῦ Θείου νῦν Βλασίου, εἰκόνα θαυματόβρυτον.

**Δόξα καὶ νῦν Θεοτοκίον.**

Πάγχρυσε κιβωτέ, καὶ μαναδόχε στάμνα, Μαρία Θεοτόκε, τὸν σὸν Υἱὸν δυσώπει, τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

**Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. τὸν συνάναρχον Λόγον.**

Τῶν θαυμάτων ἀκτῖσι καταλαμπόμενος, καὶ αἱμάτων τοῖς ρείθροις ἐπισταζόμενος, τοὺς τὴν σεπτήν σου ἑορτὴν ἑορτάζοντας, ἐλευθέρωσον παθῶν καὶ κινδύνων χαλεπῶν, ὦ Βλάσιε Ἱεράρχα, καὶ νῦν δυσώπει Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν Θεοτοκίον.**

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος κ.λ.π.

**Καὶ Ἀπόλυσις**

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Στιχολογοῦμεν τὴν α΄. στάσιν τοῦ Μακάριος ἀνήρ.**

**Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους Στ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ΄.**

**Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.**

Ἐν τῇ ἀσκήσει βλαστήσας, ὅσιε Βλάσιε, ἱερωσύνης δόξῃ, ὥσπερ φοῖνιξ δικαίως, ἐξήνθησας παμμάκαρ καρποὺς θεϊκούς, μαρτυρίου προάγων Θεῷ, τὴν τῶν εἰδώλων κατάλυσιν ἐμφανῶς, καὶ ἀνθρώπων τὴν οἰκείωσιν.

Ποιμαντικῶς διαπρέψας, Ἱερομάρτυς Χριστοῦ, ἀθλητικοὺς ἀγῶνας, ὑπομείνας γενναίως, ἐν δι᾽ ἀμφοτέρων στέφος λαβών, ἐν ἑκατέροις κοσμούμενος, δικαιοσύνῃ καὶ πόνοις ἀθλητικοῖς, δυὸ πρέσβευε σωθῆναι ἡμᾶς.

Θείῳ ρωσθεῖσαι γυναῖκες, ζήλῳ τῆς πίστεως, τοὺς ὑπερτίμους ἄθλους τῆς καλῆς μαρτυρίας, ἐστέφθησαν σὺν τέκνοις θαῦμα φρικτόν, κεφαλὴν γὰρ ποθοῦσαι Χριστόν, καὶ ἐν αὐτῷ νυμφευθεῖσαι ὑπὲρ αὐτοῦ, κεφαλὰς ἐναπετμήθησαν.

**Ἕτερα τοῦ Ἁγίου ἦχος Δ΄.**

**Ὡς Γενναῖον ἐν Μάρτυσι.**

Φιλεόρτων συστήματα, πανδημεὶ νῦν συνδράματε, καὶ λαμπρὰν πανήγυριν συγκροτήσατε, ἰδοὺ γὰρ πάντας ἐκάλεσεν, ὁ ἔνδοξος Βλάσιος Ἱεράρχης τοῦ Χριστοῦ, καὶ πιστὸς ἐν τοῖς μάρτυσι παραθέμενος, ὡς κοινὴν εὐωχίαν ἀριστείας, τὰς αὐτοῦ καὶ τοὺς ἀγῶνας, καὶ ἰαμάτων τὰς Χάριτας.

Καὶ τῷ Θρόνῳ διάδοχος, καὶ τῷ τρόπῳ συμμέτοχος, Ἀποστόλων γέγονας Ἱερώτατε, καὶ ἀθλητὴς ἐννομώτατος, Χριστοῦ πανσεβάσμιε, καὶ ποιμὴν ἀληθινός, Σεβαστείας τε πρόεδρος. Ὅθεν ἅπαντες, κατὰ χρέος τιμῶμεν σου τὴν μνήμην, τὸν Σωτῆρα εὐφημοῦντες, τὸν σὲ ἀξίως δοξάσαντα.

Τῷ αὔλῳ σου πνεύματι, Ἱεράρχα, σεβάσμιε, μακαρίων πνεύματα συναγάλλονται, ἡμεῖς δὲ χάριν ἰάσεως, τῶν σῶν οἱ λαμβάνοντες, καὶ

www.tezaurliturgic.ro

παθῶν φθοποιῶν, ἀσθενείας λυτρούμενοι ταῖς πρεσβείαις σου, ψυχικῶς ἀγαλλόμεθα παμμάκαρ, καὶ τὴν μνήμην σου τὴν θείαν, περιχαρῶς ἑορτάζομεν.

**Δόξα ἦχος πλ. α΄.**

Σήμερον ἀνέτειλεν ὑπὲρ τὸν ἑωσφόρον ἡ σεβάσμιος μνήμη τοῦ Ἱεράρχου Χριστοῦ, τὰς καρδίας τῶν πιστῶν ἀνενδότως φωτίζουσα, καὶ τὰ νέφη τῶν ψυχῶν ἀποδιώκουσα, τῇ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Δεῦτε νῦν φιλέορτοι, πρὸς αὐτὸν ἀνακράξωμεν λέγοντες· χαίροις ὁ τῆς Σεβαστείας φωστήρ, καὶ τῆς Οἰκουμένης ἁπάσης πρεσβευτὴς δραστικώτατος. Χαίροις ὁ τοῖς πιστοῖς ἀναδειχθεὶς θερμώτατος προστάτης, καὶ τῶν θαυμάτων τὰ πλήθη ἐφαπλῶν, τοῖς εἰς σὲ προστρέχουσι, θεοφόρε μακάριε. Καὶ νῦν ἐν Οὐρανοῖς τῷ θρόνῳ παριστάμενος τῆς Ἁγίας Τριάδος, αἴτησαι πρεσβείαις σου διασώζεσθαι, τοὺς ἐκ πόθου ἐκτελοῦντας τὴν Ἱεράν σου πανήγυριν.

**Καὶ νῦν Θεοτοκίον.**

Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ, ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. Τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος· ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος Θεός, ἐλέησον ἡμᾶς.

**Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**

Μνήμην δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ, οὐδὲν πονηρόν· εὔγνωστός ἐστιν πᾶσι ἐγγίζουσιν αὐτῇ· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστίν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ

www.tezaurliturgic.ro

γὰρ ἔξοδοί μοι ἔξοδοι ζωῆς αἰωνίου, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατασκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε πνεύματος.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται· χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια· δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θύρας ἐνδύνει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής, ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατόρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόμα δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ

www.tezaurliturgic.ro

φρόνησις ἀνθρώποις, καὶ ἡλικία, γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυρεῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Εἰς τὴν Λιτὴν Στιχηρὰ Ἰδιόμελα.

**Ἦχος α΄.**

Ἀγάλλου ἐν Κυρίῳ πόλις τῆς Σεβαστείας, ἀπόδυσαι τὸν πενθήρη σάκκον, καὶ χιτῶνα εὐφροσύνης περίζωσαι, εἰ γὰρ καὶ θρόνος τοῦ Σατανᾶ γεγένησαι πρότερον δι᾽ ἀσέβειαν, ἀλλ᾽ ἰδοὺ νῦν πολιοῦχον πλουτεῖς θαυμαστὸν Βλάσιον τὸν λαμπρὸν Ἱεράρχην καὶ μάρτυρα, ἀντίπαλον τῆς ἀσέβειας, καὶ τῆς εὐσεβείας ὑπέρμαχον, ἰατρὸν ἀδάπανον ψυχῶν τε καὶ σωμάτων, καὶ ἀεὶ πρεσβεύοντα τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς τῶν ἐν πίστει τελούντων αὐτοῦ τὴν πανήγυριν.

**Ἦχος ὁ αὐτός.**

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, ἀσματικὴν χορείαν ἐπικροτήσωμεν καὶ τὸν Ἱερομάρτυρα Βλάσιον, ἐν ὕμνοις καὶ ἄσμασιν εὐφημήσωμεν, οὗτος γὰρ ὡς ἑωσφόρος τῇ ἐκκλησίᾳ Χριστοῦ ἐξέλαμψε σήμερον, καὶ τὰς τῶν πιστῶν διανοίας καταφωτίζει τοῖς θαύμασιν· καὶ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ τῶν πίστει καὶ πόθῳ ἐπιτελούντων, τὴν θείαν αὐτοῦ καὶ σεβάσμιον πανήγυριν.

**Ἦχος β΄.**

Τῆς ἐκκλησιαστικῆς Ἱεραρχίας τὴν τελεσιουργὸν τὸ πρὶν κληρωσάμενος δύναμιν, Βλάσιε παμμακάριστε, ψήφοις τῶν διαδόχων τοῦ Χριστοῦ, ἐν ὑλαίοις συμβόλοις ἀνθρωποπρεπῶς αὐτῷ ἐπὶ γῆς ἱερούργησας, νῦν δὲ τῆς ὕλης λυθεὶς καὶ τῆς οἰκουμένης θαυματουργὸς ἀναδειχθείς, τὴν ὑπερκόσμιον ἐνέργειαν εἴληφας, ἐν πρώτῃ μετουσίᾳ τῆς γνώσεως, δι᾽ ἀκραιφνοῦς καὶ ἀΰλου νοὸς ἀγγελοπρεπῶς λειτουργῶν τῷ τελετάρχῃ Ἰησοῦ· ᾧ καὶ πρεσβεύεις ἀδιαλείπτως δωρηθῆναι τῷ κόσμῳ καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro

**Ἦχος β΄.**

Χρίσμα ἅγιον παρὰ Χριστοῦ ἀμφιεσθείς, Ἱερομάρτυς Βλάσιε, ἐνθέοις ἀρεταῖς καὶ αἵμασι μαρτυρικοῖς κατεποίκιλας καὶ νῦν ἐν οὐρανοῖς μετὰ μαρτύρων ἀγαλλόμενος, ἐποπτεύεις τοὺς τὴν πανένδοξον μνήμην ἑορτάζοντας, καὶ χαρμονικῶς ἐπιτελοῦντας· ὑπὲρ ὧν μὴ ἐλλείπῃς δυσωπεῖν τὸν σωτῆρα, ρυσθῆναι κινδύνων καὶ πειρασμῶν, Ἱερομάρτυς Βλάσιε.

**Ἦχος γ΄.**

Ἡ τοῦ Ἁγίου Πνεύματος παντοδύναμος χάρις, εὑροῦσα τὴν ἱεράν σου ψυχήν, Ἱερομάρτυς Βλάσιε, πρὸς ἔλεος τῶν ἀδελφῶν, καὶ συμπάθειαν ρέπουσαν, τὴν χάριν τῶν ἰαμάτων δαψιλῆ σοι ἐχαρίσατο ἵνα καὶ τὸν ἔλεον τοῖς δεομένοις ἀφθονώτερον ἐπιδείξῃς, δι' ἧς πάθη ποικίλα θεραπεύεις ἑκάστοτε, καὶ ψυχικῶν ἀλγηδόνων λυτροῦσαι τοὺς πάσχοντας, καὶ πρεσβεύεις ἐκτενῶς τῷ Κυρίῳ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἦχος δ΄.**

Ὡς καλὸς παιδοτρίβης, καὶ διδάσκαλος τῆς εὐσεβείας, τῇ ἐνεργείᾳ καὶ δυνάμει τῶν θείων λόγων σου, γυναῖκας φιλοθέους ὑπήλειψας πρὸς ἀγῶνας μαρτυρικούς, τὸ ἀσθενὲς τῆς φύσεως αὐτῶν ρωννύων ἐν Χριστῷ, μεθ' ὧν τὸν δρόμον τῆς ἀσκήσεως καλῶς τελέσας, εἰς νυμφῶνα οὐράνιον φαιδρῶς συναγάλλει, διπλῷ στεφάνῳ τῆς θείας δόξης σεμνυνόμενος, καὶ ἐξαιτούμενος σὺν αὐταῖς, τὴν εἰρήνην ἡμῖν δοθῆναι καὶ τὸ μέγα ἔλεος.

**Δόξα ἦχος πλ. β΄.**

Ἐκκαθάρας σου τὸν νοῦν πάσης ὑλικῆς προσπαθείας, Βλάσιε θεσπέσιε, τὴν δὲ ψυχὴν ἡδυπαθείας, καὶ τὸ σῶμα τῆς ἐμπαθείας, κατοικητήριον γέγονας, τοῦ ἀκενώτου μύρου Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἐν γῇ κενωθέντος δι' ἀγαθότητα καὶ τὸν κόσμον εὐωδιάσαντος. Ὅθεν καὶ μετὰ θάνατον, μύρα βλύζειν κατηξιώθης, ἐκ τοῦ ἱεροῦ καὶ ἁγίου λειψάνου σου, σύμβολον δὲ τοῦτο, καὶ τεκμήριον ἐνεργέστατον, τῆς ἀληθοῦς ἁγνείας καὶ παρθενίας ὑπάρχεις, ἧς καὶ ἡμᾶς μετασχεῖν καταξίωσον, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

**Καὶ νῦν Θεοτοκίον.**

www.tezaurliturgic.ro

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν πρέσβευε Δέσποινα μετὰ τοῦ Ἱεράρχου καὶ πάντων τῶν ἁγίων ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἰς τὸν στίχον, Στιχηρὰ προσόμοια ἦχος πλ. α΄.**

**Χαίροις ἀσκητικῶν ἀληθῶς.**

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ Σεβαστείας φαεινότατος πρόεδρος, ὁ στύλος ὁ τῆς σοφίας, διδασκαλίας πηγή, νεκταρῶδες νάμα ἡ προχέουσα· ποιμὴν θεοπρόβλητε, ὁ σκηνώσας τὸ ποίμνιον εἰς τόπον χλόης· πρακτικῆς καὶ εἰς ὕδατα, θείας γνώσεως, διαθρέψας ἀοίδιμε· αἴτησαι ἐκτενέστερον, παμμάκαρ τὸν Κύριον, τῶν ὀφλημάτων τὴν λύσιν, καὶ τῶν νοσούντων τὴν ἴασιν, ἡμῖν δωρηθῆναι, τοῖς ἐν πίστει ἐκτελοῦσι τὴν θείαν μνήμην σου.

**Στίχος, Στόμα δικαίου ἀποστάζει σοφίαν.**

Χαίροις ὁ μυροβλήτης Χριστοῦ, μύρα εὐώδη, ὁ ἐκβλύζων τῆς κόνεως, καὶ τούτοις πᾶσαν μυρίζων, τὴν ἐκκλησίαν Χριστοῦ, ροαῖς πανευόσμοις τῶν χαρίτων σου, δυσώδη παθήματα, τῶν νοσούντων ἰώμενος, καὶ θεραπεύων, τὰς ψυχὰς καὶ τὰ σώματα, τῶν ἐκ πόθου σοι προστρεχόντων καὶ πίστεως, μύρισον οὖν τοῖς μύροις σου ἡμᾶς τοὺς τιμῶντάς σε, μεμυρισμένος ἐν ὕμνοις, καὶ δυσωδίαν ἀπέλασον, κακίας ἁπάσης, ἀρετῶν δὲ εὐωδίας, ἅπαντες πλήρωσον.

**Στίχος. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται Δικαιοσύνην.**

Χαίροις μάρτυς πιστὲ τοῦ Χριστοῦ, τῆς συμπαθείας ὁ κρουνὸς ὁ ἀέναος, ἐλέους ἄφθονον ρεῖθρον, τῶν ἱερῶν ἀρετῶν, τὸ τερπνὸν καὶ θεῖον ἐνδιαίτημα, ἰάσεων πέλαγος, πλημμυροῦν τοῖς προστρέχουσιν, σεπτῷ Ναῷ σου, ἀποστόλων διάδοχος, καὶ ἐφάμιλλος γεγονὼς ἱερώτατε. Αἴτησαι ἐκτενέστερον παμμάκαρ τὸν Κύριον, τῶν ὀφλημάτων τὴν λύσιν, καὶ ἀσθενούντων τὴν ἴασιν, ἡμῖν δωρηθῆναι, τοῖς ἐν πίστει ἐκτελοῦσι, τὴν θείαν μνήμην σου.

Χαίροις τῆς Κορινθίας φρουρὸς καὶ τῶν Τρικάλων μέγα ὄμμα παντέφορον, ὦ Βλάσιε Ἱεράρχα, ὁ κατ᾽ ἐχθρῶν αἰχμητής, καὶ τῶν ἀσθενούντων ἡ βοήθεια. Ἰάσεων πέλαγος, πλημμυροῦν τοῖς προστρέχουσι,

www.tezaurliturgic.ro

σεπτῷ Ναῷ σου. Ἀποστόλων διάδοχος καὶ ἐφάμιλλος γεγονὼς ἱερώτατε. Ὅρμος ὁ γαληνότατος, ἐν ᾧ καταφεύγοντες, οἱ ἀσθενείαις ποικίλαις, περιστατούμενοι σώζονται. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος. (1)

**Δόξα ἦχος πλ. δ΄.**

Δεῦτε φιλομάρτυρες πάντες, πνευματικὴν χορείαν συστησάμενοι, Βλάσιον τὸν Ἱερομάρτυρα μακαρίσωμεν, τὸν πύργον τῆς εὐσεβείας καὶ Ἐκκλησίας φαεινότατον ἀστέρα. Οὗτος γὰρ πνευματικοῖς ἠγλαϊσμένος χαρίσμασι, καὶ τὴν ἐξ ὕψους δύναμιν ἐνδεδυμένος τοῦ Ἁγίου Πνεύματος, κατὰ τῶν ἀκαθάρτων πνευμάτων τὸ κράτος ἐκτήσατο, καὶ ταῦτα πόρρω τῆς Σεβαστείας ἐδίωξεν, ἀποκτανθεὶς δὲ διὰ Κύριον, χάριν ἐξαίρετον εἴληφε, τὰς ἀρρωστείας ἰατρεύειν νοσούντων, τῶν μετὰ πίστεως ἐπικαλουμένων αὐτόν, καὶ τελούντων ἐκ πόθου, τὴν Ἱερὰν αὐτοῦ ἄθλησιν.

**Καὶ νῦν Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Ἀπολυτίκιον ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.**

Τῶν θαυμάτων ἀκτῖσι καταλαμπόμενος, καὶ αἱμάτων τοῖς ρείθροις ἐπισταζόμενος, τοὺς τὴν σεπτήν σου ἑορτὴν ἑορτάζοντας, ἐλευθέρωσον παθῶν καὶ κινδύνων χαλεπῶν, ὦ Βλάσιε Ἱεράρχα, καὶ νῦν δυσώπει Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ὑμῶν.

**Ἕτερον Ἀπολυτίκιον ἦχος δ΄. Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως.**

Τὸν ἀθλοφόρον τοῦ Χριστοῦ Ἱεράρχην, καὶ ἀθλητὴν παναληθῆ τοῦ Σωτῆρος, καὶ ἰατρὸν πανάριστον τῶν νόσων, ἐν ᾠδαῖς, ἅπαντες τιμήσωμεν αὐτὸν ἐκβοῶντες, πρόφθασον καὶ λύτρωσαι ψυχικῆς ἀρρωστείας, τῆς ἀφορήτου, ἵνα Σὲ ἀεί, ὡς εὐεργέτην γεραίρωμεν Βλάσιε. (2)

**Καὶ νῦν Θεοτοκίον.**

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον. . .

**Καὶ ἀπόλυσις.**

(1) Ποίημα Δ. Μπόμπολα, οἰκονόμου. Ψαλλόμενον μόνον ἐν Κορινθίᾳ.

(2) Τὸ ἀπολυτίκιον τοῦτο εὑρέθη ἐν χειρογράφῳ ἀκολουθίᾳ τοῦ Ἁγίου ἐν τῇ Ἱερᾷ Μονῇ αὐτοῦ, τῇ κειμένῃ εἰς Τρίκαλα Κορινθίας τὸ 1874.

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὴν α΄ Στιχολογίαν.**

**Κάθισμα ἦχος α΄. Τὸν Τάφον Σου Σωτήρ.**

Ὡς ἥλιος λαμπρός, ὡς ἀστὴρ ἑωσφόρος, ἡ μνήμη σου σοφέ, ἐπιστᾶσα παμμάκαρ, ἐπέλαμψε τοῖς πέρασι, καὶ πιστῶν κατεφώτισε, τὴν διάνοιαν, ταῖς τῶν θαυμάτων ἀκτῖσι, καὶ κατήφρανε τῶν Σὲ τιμώντων, ἐκ πόθου καρδίας ἀοίδιμε.

**Δόξα Πατρί. Ὅμοιον.**

Πολύφωτος ἀστήρ, δαδουχίαις θαυμάτων, καὶ ἄθλων ἱερῶν, καταυγάζων τὴν κτίσιν, ὦ Βλάσιε μακάριε, ἀληθῶς ἐχρημάτισας. Ὅθεν σήμερον τὴν φωσφόρον σου μνήμην, ἑορτάζομεν, ἐν κατανύξει καρδίας, Χριστὸν μεγαλύνοντες (1).

**Καὶ νῦν Θεοτοκίον.**

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

**Μετὰ τὴν Β΄ Στιχολογίαν**

**Κάθισμα β΄ ὅμοιον.**

Ἡ μνήμη ἡ φαιδρά, Ἱεράρχου ἐπέστη, καὶ πάντων δαδουχεῖ, τῶν πιστῶν τὰς καρδίας, αὐτὴν οὖν ἑορτάσωμεν καὶ ἡμεῖς, ὦ φιλέορτοι, ἵνα λάβωμεν, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, χάριν, ἔλεος καὶ ὀφλημάτων τὴν λύσιν, τοῦ τοῦτον δοξάσαντος.

**Δόξα Πατρὶ ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Ἀνατέταλκεν ἰδού, ἡμέρα πλήρης χαρμονῆς, καὶ εὐφροσύνης ἑορτή, ἡ μνήμη τοῦ πανευκλεοῦς, ἱερομάρτυρος θείου Βλασίου· δεῦτε οὖν λαμπρῶς πανηγυρίσωμεν, καὶ πανευλαβῶς ἐκβοήσωμεν, διηνεκῶς ἱκέτευε παμμάκαρ, ἁμαρτημάτων συγχώρησιν, δοθῆναι πᾶσι τοῖς ἐκτελοῦσι τὴν μακαρίαν σου ἄθλησιν.

**Καὶ νῦν Θεοτοκίον ὅμοιον.**

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν καὶ ἐλάμβανεν εἰς

---

(1) Ποίημα Δ. Μπόμπολα, οἰκονόμου.

www.tezaurliturgic.ro

νοῦν τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου, καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζεν· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

**Μετὰ τὸν πολυέλαιον Κάθισμα ἦχος γ΄.**

**Ἡ Παρθένος σήμερον.**

Τῶν θαυμάτων εἴληφας, τὴν θείαν χάριν Θεόθεν, Ἱεράρχα Βλάσιε, θαυματουργὲ θεοφόρε, ἅπαντα τὰ πιστῶν πάθη καθαίρων, πνεύματα, τῆς πονηρίας πάτερ ἐλαύνων. Διὰ τοῦτο σὲ ὑμνοῦμεν, ὡς μέγαν μύστην Θεοῦ τῆς Χάριτος. (1)

**Δόξα Κάθισμα ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Τὴν φαιδρὰν πανήγυριν τοῦ Ἱεράρχου, οἱ πιστοὶ τελέσωμεν, καθικετεύοντες αὐτόν, ἵνα ἡμᾶς ἐκλυτρώσηται, παντοίων νόσων, κινδύνων καὶ θλίψεων (2).

**Καὶ νῦν Θεοτοκίον.**

Τὴν θερμὴν ἀντίληψιν, τῶν ἐν ἀνάγκαις, τὴν ἡμῶν βοήθειαν, καὶ πρὸς Θεὸν καταλλαγήν, δι᾽ ἧς φθορᾶς ἐλυτρώθημεν, τὴν Θεοτόκον, πιστοὶ μακαρίσωμεν.

**Οἱ Ἀναβαθμοί. Τὸ πρῶτον ἀντίφωνον τοῦ δ΄ ἤχου.**

**Ἐκ Νεότητός μου**

**Προκείμενον ἦχος δ΄.**

**Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.**

**Στ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην. Πᾶσα πνοή.**

**Εὐαγγέλιον, Ἐγώ εἰμι ἡ θύρα (ὅρα 13 Νοεμβρίου).**

**Εἶτα ὁ Πεντηκοστὸς ψαλμός, χῦμα.**

**Δόξα ταῖς τοῦ Ἱεράρχου,**

**Καὶ νῦν ταῖς τῆς Θεοτόκου.**

**Εἶτα· Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.**

(1) Ποίημα Δ. Μπόμπολα, οἰκονόμου.
(2) Ὁμοίως.

www.tezaurliturgic.ro

Ἦχος πλ. β΄.

Ἐκ τῆς νοητῆς ἀμπέλου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, βλαστὸς ὡραιότατος βλαστήσας, Ἱερώτατε Βλάσιε, ἀθανασίας βότρυας τῇ πίστει ἐξήνθησας, καὶ ὡς οἶνον ἀμβροσίας ἐν καιρῷ τοῦ μαρτυρίου, τὸ αἷμα σου ἐξέχεας δι᾽ οὗ καὶ κατήφρανας πᾶσαν τὴν Ἐκκλησίαν, ἥτις ἐπαξίως, γεραίρει τὴν μνήμην σου.

Εἶτα ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

Τὸ Κύριε ἐλέησον ΙΒ΄, Ἐλέει καὶ οἰκτιρμοῖς.

Οἱ Κανόνες. Τῆς Θεοτόκου ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Καὶ ὁ τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχὶς

Ὕμνοις κροτῶ σε, μάρτυς εὐσεβοφρόνως.

Ὠδὴ α΄. ἦχος πλ. δ΄.

Εἱρμὸς ἄλλος

Ἆσμα ἀναπέμψωμεν λαοί, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, τῷ ἀπαλλάξαντι τὸν Ἰσραήλ, δουλείας, ᾠδὴν ἐπινίκιον ᾄδοντες καὶ βοῶντες, ᾄσωμέν σοι τῷ μόνῳ Δεσπότῃ.

Ὕμνοις τὴν φωσφόρον καὶ σεπτήν, καὶ ἱεράν σου ἄθλησιν, ἀνευφημοῦντες πιστῶς, Χριστοῦ Ἱερομάρτυρος, τὸν νοῦν μου καταύγασον, αἴγλῃ φαεινοτάτῃ, παρρησίαν ἔχων πρὸς τὸν Κτίστην.

Μίαν χαρακτῆρσιν ἐν τρισίν, ὁμολογεῖς Θεότητα, πολυθείας ἀχλύν, ἀπήλασας καὶ ὄρθρος αὐγάζων εὐσέβειαν ὤφθης Ἱερομάρτυς, τοῖς ἐν ζόφῳ πλάνης κρατουμένοις.

Νύκτα ἀθείας ἀστραπαῖς, τοῦ Ἱεροῦ κηρύγματος, ἀπομειώσας φωστήρ, κοσμούμενος ἐδείχθης, θαυμάτων λαμπρότησι, φέγγει τε τοῦ μαρτυρίου, καὶ τὴν κτίσιν πᾶσαν καταυγάζεις.

Θεοτοκίον

Ὅλην καθαρὰν εὑρηκώς, ὁ καθαρὸς ἐσκήνωσεν, ἐν τῇ νηδύϊ σου ἁγνὴ παρθενομῆτορ, καὶ σάρξ ἐχρημάτισε, δίχα τῆς ἁμαρτίας, ἵνα τῆς πλάνης ἡμᾶς ἀπαλλάξῃ.

Καταβασία, Ἀνοίξω τὸ στόμα μου.

www.tezaurliturgic.ro

**᾿Ωδὴ γ΄. Ὁ Εἱρμός.**

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ, ἐπλατύνθη ἐπ᾿ ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ μου.

Οἱ ταῖς ἀκάνθαις συμπνιγόμενοι τῶν τοῦ βίου, ἀπαύστως Βλάσιε συμπτωμάτων, προστάτην σὲ προσκαλούμενοι.

Τῇ πρὸς τὸ θεῖον ἀνανεύσει ὁλικωτάτῃ, βασάνων ἤνεγκας τρικυμίαν, ξενομένης τῆς σαρκός σου, ὥσπερ πάσχοντες ἑτέρου, οὐ διακείμενος.

Ὡς Ἱεράρχης, ὡς ἀήττητος ἀθλοφόρος, ὡς θείᾳ δόξῃ ἠγλαϊσμένος, ἀκροτάτῳ ἐφετῷ νῦν παρίσταται, πρεσβεύων ὑπὲρ τῆς ποίμνης σου.

**Θεοτοκίον**

Σὲ τὴν φανεῖσαν, ὑπερέχουσαν τῶν κτισμάτων, ὡς πάντων οὖσαν ἁγιωτέραν, ἐν αἰνέσει γενεαὶ μακαρίζουσιν, ἀνθρώπων Θεομακάριστε.

**Καταβασία, Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.**

**Κάθισμα ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**

Ἐκβλαστήσας ὡς δένδρον πανευθαλές, ἐν τῷ οἴκῳ Κυρίου Ἱερουργέ, πολλοὺς κατεφύτευσας πρὸς τὴν γῆν τὴν σωτήριον· καὶ ὡς κριὸς ποιμνίου, καλῶς καθηγίασαι,δεσμευθείς, σφαγεὶς καί, θυσία γενόμενος, τῷ δι᾿ ἀσπλαχνίαν ὡς ἀρνίον σφαγέντι· καὶ χαίρων ἀνέδραμες, πρὸς αὐτὸν πάτερ Βλάσιε. Διὰ τοῦτο βοῶμεν σοὶ πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν, δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Διὰ κόσμον Παρθένε τὸν κοσμικόν, καὶ ταγμάτων τῶν ἄνω καλλωπισμόν, ἐν κόσμῳ ἐκύησας, τὸν τοῦ Κόσμου Κοσμήτορα. Πρὸ γὰρ τούτου Κόρη, ὑπῆρχον ἀκόσμητα, τῶν βροτῶν μὴ δύνασθαι βλέπειν τὸν Κύριον· Ὅθεν ἀμφοτέρων, κοσμιότης κοσμία, ὡράθης Μητρόθεε, κοσμιότητι τόκου σου, τὸν γὰρ κόσμον ἐκόσμησε, κόσμῳ τῷ ἀρχαίῳ δι᾿ αὐτοῦ, καὶ Ἀγγέλων πάντα τὸν διάκοσμον, κατακοσμεῖς ὑπερκάλως, ἐν σοὶ Κοσμοσώτειρα.

www.tezaurliturgic.ro

**᾿Ωδὴ δ΄. Ὁ Εἱρμός.**

Ἐξ ὄρους κατασκίου, Λόγε ὁ προφήτης τῆς μόνης Θεοτόκου, μέλλοντος σαρκοῦσθαι, θεοπτικῶς κατενόησε, καὶ ἐν φόβῳ ἐδοξολόγει σου τὴν δύναμιν.

Ἔχων τὴν ψυχήν, ἀΰλῳ φωταυγείᾳ, μάρτυς καὶ ποιμήν, φαιδρῶς αὐγαζομένην δικαστικῶς πρὸ βημάτων ἔστης ἀνδρείως, ὁμολογῶν Θεοῦ τὴν σάρκωσιν.

Μύστης ἱερεύς, καὶ μάρτυς στεφηφόρος, στύλος ἀκλινής, καὶ βάσις εὐσεβείας, καὶ ἀληθείας ἑδραίωμα ἐγνωρίσθης, τῇ Ἐκκλησίᾳ μάρτυς Βλάσιε.

Ἄρνας λογικούς, ἐποίμανας ὁσίως· θῦμα δὲ δεκτὸν προσήχθης τῷ Δεσπότῃ ὁλοκαυτούμενον ἄνθραξι μαρτυρίου, ἱερομύστα πανσεβάσμιε.

Ῥήσει σου σοφῶν, χειλέων ἀπεφράγη, χείλη πονηρά, λαλοῦντα βλασφημίαν, εἰς τὸν τῶν ὅλων Δεσπότην καὶ Βασιλέα, Ἱεροκήρυξ ἀξιάγαστε.

**Καὶ νῦν Θεοτοκίον.**

Τόμον σε καινόν, προεῖδεν ὁ προφήτης, ἔχοντα Θεοῦ, τὸν λόγον γεγραμμένον, τὸν διαρρήξαντα Κόρη τῆς ἁμαρτίας, τῶν προπατόρων τὸ χειρόγραφον.

**Καταβασία. Τὴν ἀνεξιχνίαστον.**

**᾿Ωδὴ ε΄. Ὁ Εἱρμός.**

Τὸν ζόφον τῆς ψυχῆς μου διασκέδασον φωτοδότα Χριστὲ ὁ Θεός, ὁ τὸ ἀρχέγονον σκότος διώξας τῆς ἀβύσσου, καὶ δώρησαί μοι τὸ φῶς τῶν προσταγμάτων σου Λόγε, ἵνα ὀρθρίζων δοξάζω σε.

Ὑπέμεινας ἀνδρείως, τῆς σαρκὸς τὰς αἰκίσεις ἀοίδιμε, ἐν τῷ δεινῶς τραυματίζεσθαι, τὴν πλάνην τραυματίζων, καὶ καταράσσων ἐχθρούς, τῇ πρὸς Θεὸν ἀνυψώσει, ποιμὴν ἀξιάγαστε.

Σταυρῷ τὸν προσπαγέντα, ἐν τῷ πάθει σου εἰκονίζων μακάριε, τὰς τῆς σαρκὸς ἀλγηδόνας, ὑπέφερες γενναίως, καὶ νικητὴς γεγονώς, συναριθμήθης ἀξίως μαρτύρων στρατεύμασι.

www.tezaurliturgic.ro

Ἐνθέῳ πεποιθήσει, προσευχῶν σου μάστιξι, θῆρα Πάτερ συνώθησας, ἀποβαλέσθαι τὴν θήραν, ἣν ἀδίκως συνέσχε, πιστοῦ γυναίου πληρῶν, συμπαθεστάτῃ καρδίᾳ τὴν αἴτησιν Βλάσιε.

**Καὶ νῦν Θεοτοκίον.**

Ὑμνοῦμεν σε Μαρία, τὴν θεώσασαν τῶν ἀνθρώπων τὸ φύραμα, τῇ ὑπὲρ νοῦν σου λοχείᾳ καὶ ἀναπλάσασαν καταφθαρέντας ἡμᾶς, καὶ συντριβέντας ἀπάτῃ τοῦ ὄφεως Πάναγνε.

**Καταβασία. Ἐξέστη τὰ σύμπαντα.**

**Ὠδὴ στ΄. Ὁ Εἱρμός.**

Ἱλάσθητί μοι Σωτήρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου· καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· καὶ πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Συνήθλησέ σοι χορός, σεπτῶν γυναίων ἀοίδιμε, ρωσθεῖσαι γὰρ τοῦ Σταυροῦ, δυνάμει συνέτριψαν, ἐχθροῦ πολυμήχανον, κεφαλήν, καὶ νίκης ἀνεπλέξαντο διάδημα.

Ἐρρώσθη τὸ ἀσθενές, Θεοῦ δυνάμει καὶ χάριτι, ἰδοὺ γὰρ νεανικῶς, γυναῖκες ἠρίστευσαν, τὸν ὄφιν πατήσασαι, τὸν ποτὲ τὴν Εὔαν, Παραδείσου ἐξοικήσαντα.

Βυθίσασαι πονηρῶν, δαιμόνων ἄψυχα ξόανα, Ἐπουρανίου Ναοῦ, κειμήλια ἔμψυχα, ἑαυτὰς προσήξατε, καὶ τῶν πρωτοτόκων, Ἐκκλησίαν ἐφαιδρύνατε.

Ὁ θρόνος τοῦ Θεοῦ, τῶν χερουβὶμ ὁ ὑπέρτερος, νεφέλη ἡ τοῦ φωτός, ψυχῆς μου τὰ ὄμματα, Παναγία φώτισον, καὶ παθῶν ἀχλύος, τὴν καρδίαν μου καθάρισον.

**Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.**

**Κοντάκιον ἦχος β΄. Τὰ ἄνω ζητῶν.**

Ὁ θεῖος βλαστός, τὸ ἄνθος τὸ ἀμάραντον, ἀμπέλου Χριστοῦ, τὸ κλῆμα τὸ πολύφορον, θεοφόρε Βλάσιε, τοὺς ἐν πίστει τελοῦντας τὴν μνήμην σου, εὐφροσύνης πλήρωσον τῆς σῆς, πρεσβεύων ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

www.tezaurliturgic.ro

## Ὁ Οἶκος

Ρώμῃ Θεοῦ ἐνισχυθείς, ὦ θεόφρον, ὡς ἱερὸς Ἱεράρχης, καὶ λειτουργὸς αὐτοῦ, ἐν πράξεσι θείαις ἀναδέδειξαι, τῶν ἀθλοφόρων ἐν χορείαις, ἀθλοφόρος ὡράθης καὶ στεφανίτης· τῆς Ἀαρὼν ὑπερήρθης θυσίαις, ὡς μύστης Χριστοῦ· σὺν Ἄβελ αἷμα τὸ θεῖον ἀνακράζει Θεῷ τὴν σφαγήν σου· καὶ θρόνῳ θείῳ τοῦ κτίσαντος παρεστώς, σὺν Ἀγγέλων τοῖς Τάγμασι πρεσβεύεις, ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

## Συναξάριον.

Τῇ ΙΑ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Βλασίου, Ἀρχιεπισκόπου Σεβαστείας τοῦ θαυματουργοῦ.

## Στίχοι.

Λαιμὸν Βλάσιον ἐκκοπεὶς διὰ ξίφους.
Ἀλγοῦσι λαιμοῖς ρευμάτων εἴργει βλάβας.
Ἑνδεκάτῃ Βλασίου Τάμεν αὐχένα χαλκὸς ἀτειρής.

Βλάσιος ὁ μάρτυς ἄξιος τοῦ τοιοῦδε τέλους τῆς μαρτυρίας, καὶ τὸν πρὸ βίου ἀληθῶς ἐπεδείξατο παραπλησίως τῷ μεγάλῳ Ἰώβ, ἄκακος ἀναφανείς· ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἐπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· ἐπεὶ οὖν φύσει τὸ καλὸν πᾶσιν ἐπαινετὸν καὶ ἡ ἀρετὴ ἀξιότιμος, οἱ ἐν τῇ πόλει Σεβαστείᾳ φημὶ τῆς Καπαδοκίας, θείου τῆς Ἐπισκοπῆς βαθμοῦ καὶ τοῦ θρόνου αὐτὸν ἀξιοῦσιν. Ἐκεῖνος δὲ ἡσυχίας ὢν ἐραστής, καὶ τὸ κατὰ μόνας Θεῷ σχολάζειν σφόδρα φιλῶν, γενόμενος ἔν τινι τῶν ὀρέων, Ἀρτεϊ ὄνομα, ἐγκλεισάμενός τε πρὸ τῷ ἐκεῖσε σπηλαίῳ, καθαρὰς καὶ ἀθορύβους τῷ Θεῷ τὰς εὐχὰς προσῆγεν. Οὕτω δ᾽ ἐπέραστος τοῖς θηρίοις, διὰ πολλὴν πάνυ τὴν πρὸς τὸν Θεὸν οἰκείωσιν, ὡς καὶ αὐτὰ συνέρχεσθαι παρ᾽ ἐκεῖνον καὶ παραμένειν, καὶ μὴ θέλειν ἀφίστασθαι μηδ᾽ ἀναχωρεῖν, ἄχρις ἂν τῆς τῶν χειρῶν, ἐπιθέσεώς τε καὶ εὐλογίας τῆς παρ᾽ αὐτοῦ τύχοιεν.

Κατ᾽ ἐκεῖνον τοίνυν τὸν καιρὸν θηρευταὶ πρὸς τὸ ὄρος κατὰ θήραν ἀγρίων ζώων ἐληλυθότες, Ἀγρειολάῳ τούτῳ δόξαν τῷ ἡγεμόνι, μᾶλλον δὲ τοῦ Θεοῦ φανερὸν καὶ Ἕλλησι τὸν ἅγιον καθιστῶντος, καὶ πρὸς τοιοῦτον ἀξίωμα τοῦ μαρτυρίου παρωθοῦντος αὐτόν. Ὡς εἶδον αὐτόντε καὶ τὸ σπήλαιον καὶ πλήθη τῶν ζώων ἐν τούτῳ συνηθροισμένα καὶ πρὸς ἄλληλα ταῦτα διασκιρτῶντα, ἀπορία τε εἴχοντο καὶ τὸ πρᾶγμα διὰ θαύματος ἐποιοῦντο· ἐπεὶ δὲ ἡ τούτου ἄγνοια καὶ πρὸς ζήτησιν ἐκάλει, τοῦ φαινομένου καὶ ἐγγυτέρῳ προσέβαλον, θεωροῦσι τὸν ἅγιον τῷ Θεῷ παριστάμενον καὶ μόνῳ μόνον αὐτῷ προσανέχοντα, καὶ τὰς εὐχὰς ὁσίως ἀποδιδόντα, εἶτα ἐπανελθόντες, ἀπαγγέλλουσι, ἃ εἶδον τῷ ἡγεμόνι· καὶ αὐτὸς οὐδεμιᾶς τὸ πρᾶγμα δοὺς ὑπερθέσει παραχρῆμα πέμπει ἐκεῖσε

www.tezaurliturgic.ro

τοὺς θηρευτάς, συγκαταλέξας αὐτοὺς καὶ χεῖρα στρατιωτικὴν οὐκ ὀλίγων, καὶ κελεύσας ὅσας ἂν τοὺς ἄλλους τῶν χριστιανῶν εὕρειεν πάντας συλλαβέσθαι καὶ θήραμα τούτους ποιῆσαι μᾶλλον, πολλῷ τῶν ἀγρίων ζώων αὐτῷ σπουδαιότερον. Ὡς οὖν ἀφίκοντο οἱ ἀπεσταλμένοι, τὸν ἅγιον αὖθις τῇ προσευχῇ προσεδρεύοντα εὑρηκότες, ἔξελθε εἶπον, ὁ ἡγεμὼν σὲ καλεῖ. Οὓς ὁ θεῖος ἰδὼν Βλάσιος, οὐ διεταράχθη, οὐκ ἔπτηξεν, οὐ λύπῃ τινὶ καὶ θορύβῳ τὴν ψυχὴν συνεσχέθη, ἀλλ' οἱονεὶ τὸ πρᾶγμα εἰδὼς καὶ προσμένων καὶ διὰ πολλῆς ἔχων αὐτὸ ἐπιθυμίας, ἐχάρη τε σφόδρα καὶ εὐθέως ἡδέως πρὸς αὐτούς, δεῦτε τέκνα, εἶπε, πορευθῶμεν ἅμα, ἐμνήσθη γάρ μου σήμερον ὁ Θεός, ἐπεὶ καὶ κατὰ τήνδε τὴν νύκτα, τὴν κλῆσιν μοι ταύτην ὁ ἀγαθὸς ἐγνώρισεν. Ὡς οὖν ἤδη καὶ ὁδοῦ εἴχοντο, πολλοὶ μὲν Ἑλλήνων παῖδες ἐπέστρεφον πρὸς θεογνωσίαν τὴν προτέραν πλάνην, ἀπαγορεύοντες, οὐδενὸς ἄλλου, ἢ τῆς αὐτοῦ πραότητος ῥαδίως τοῦτο κατορθούσης, καὶ τῶν θεσπεσίων αὐτοῦ εὐχῶν καὶ δεήσεων.

Πολλοὶ δὲ καὶ τῶν τὰ σώματα πονηρῶς ἐχόντων, ρᾶον ἔτσι διὰ τῆς τῶν χειρῶν μόνης ἐπιθέσεως ἠξιῶντο, οὐκ ἄνθρωποι δὲ μόνον, ἀλλὰ καὶ κτήνη τῆς κοινῆς ταύτης ἀπέλαβον θεραπείας. Ἐν τούτοις συνέβη καὶ παῖδα τινὰ γυναικός, ἐφ' ᾧ μόνῳ μήτηρ ἐγνωρίζετό τε καὶ ὠνομάζετο, ἰχθῦν ἐσθιόντα τὸν λαιμὸν ἀκάνθη περιπαρῆναι καὶ ἄφωνον αὐτὸν παραχρῆμα μεῖναι, ἡ δὲ μήτηρ καίτοι γὰρ ἡ μήτηρ, ἀλγεινότερον ἢ ὁ παῖς κέντρῳ τῆς λύπης τὴν καρδίαν πληγεῖσα καὶ οἷα τελῶν, ἣν ὁ τοῦ Χριστοῦ μάρτυς ἀναμαθοῦσα, ἐξ αὐτῆς λαβοῦσα τὸν φίλτατον, πρὸ τῶν ποδῶν τίθησι τοῦ ἁγίου οὐμακρὰν εἶναι τοῦ θανεῖν ἐλπιζόμενον· βοῇ τε ἰσχυρᾷ ἐφώνει τὸν μάρτυρα, καὶ τοῖς δάκρυσι μᾶλλον ἢ τῇ φωνῇ πρὸς οἶκτον ἐκάλει. Ἐπεὶ δὲ πρὸς ψυχὴν ἐγίνετο ταῦτα τὴν μάλιστα συμπαθῆ, οὐ μέλλων ἦν, οὐδ' εἰς ἀναβολὰς βοηθὸς ὁ μέγας, οὔτε τῆς φιλανθρωπίας αὐτῷ τοῦτο βουλόμενος, οὔτε τῆς πολλὰ δυναμένης ἐκ Θεοῦ χάριτος, ἀλλ' ὃ πάθει ὁ παῖς, αὐτίκα μαθών, τὴν μὲν χεῖρα ἐπὶ τὸν λαιμὸν τίθησι τὸν ἐκείνου, ὄμματα δὲ καὶ διάνοιαν εἰς ὕψος ἐπάρας, ὁ Θεός, εἶπεν, ὁ τῶν ἐν ἀληθείᾳ ἐπικαλουμένων σε τὰς αἰτήσεις προφθάνων, ὡς ὁ θεῖος προφήτης φησί, καὶ τὴν ἑτοιμασίαν τῆς καρδίας προσέχεις τὸ οὖς σου καὶ βοηθὸς παρίστασαι μάλα θερμός, ἐπάκουσόν μου τῆς δεήσεως ταύτης, καὶ τὴν ἐμπαγεῖσαν ἄκανθαν τῷ παιδί, ἀοράτῳ σου ἔξελε δυνάμει Χριστέ, ταχεῖαν αὐτῷ τὴν ἴασιν παρεχόμενος. Καὶ ᾧ ἂν ἀπὸ τοῦ νῦν συμβῇ τὶ τοιοῦτον, εἴτε ἐν ἀνθρώποις τελείοις, ἢ βρέφεσι, ἢ κτήνεσι διαμνημονεύσειε δὲ τὶς ἐκεῖ τοῦ ἐμοῦ ὀνόματος, οὕτω λέγων· ὁ Θεός, τῇ πρεσβείᾳ τοῦ θεράποντός σου Βλασίου ἐπιτάχυνον τὴν βοήθειάν σου, ταχείας ἀπολαύσας καὶ αὐτὸς τῆς θεραπείας εἰς δόξαν τοῦ μεγάλου σου Βασιλεῦ ὀνόματος· ἔφη καὶ τῷ τέλει δὲ τῆς εὐχῆς, τέλος συνέδραμε καὶ τῷ πάθει καὶ ὁ παῖς ὑγιὴς ἦν ὅλως καὶ ἀπαθὴς καὶ ἀνώδυνος, πολλῆς τε εὐφροσύνης τῇ μητρὶ πρόξενος, ἥσπερ πρότερον ἀθυμίας· διαβεβόητο δὲ ὁ τοῦ Θεοῦ μάρτυς Βλάσιος, οὐκ ἐν τῇ Σεβαστείᾳ μόνον, ἀλλὰ καὶ ἐν Νικοπόλει, καὶ πᾶσιν ἐπὶ στόματος ἔκειτο· ἦν γὰρ μετὰ τῆς ἄνωθεν ὀμβρινομένης αὐτῷ χάριτος καὶ τὴν ἰατρικὴν ἐκεῖνος πεπαιδευμένος· καὶ τοῦτο δὲ ὁδοῦ πάρεργον ἀκολουθῆσαν ἐρ-

www.tezaurliturgic.ro

χομένῳ τῷ μάρτυρι, σιωπῆσαι οὐδαμῶς ἄξιον· γυναικὶ χήρᾳ καὶ πενιχρᾷ ἀδίκους καὶ πλεονεκτικοὺς γείτονας, ἅρπαγμα ἑαυτοῦ ποιεῖται· τῇ δὲ χοῖρος ἦν ἡ περιουσία καὶ πλεῖον οὐδέν, τοῦτον λύκος ἰδὼν κατὰ τοὺς γυναικὶ πλοῦτος μὲν ὡς ἔοικεν οὐχ εἰπεῖν, πίστις δέ, πλουσία, ταύτῃ τε καὶ παραχρῆμα τῷ ἁγίῳ κατὰ τοῦ θηρὸς πρόσεισιν· ὁ δὲ ὑπομειδιάσας, ὥστε λῦσαι τῇ γυναικὶ τὴν κατήφειαν, καὶ ἀγαθῶν ἐλπίδων ἐμπλῆσαι, μὴ λυποῦ γύναι φησί· μικροῦ γὰρ καὶ ἀποδίδοταί σοι ἀβλαβὴς ὁ χοῖρος· ὁ μὲν οὖν ἅγιος σπεύδων εἶχε τὴν πορείαν, ὁ δὲ λύκος τὸ λοιπόν, οὐ λύκος ἦν τῷ θελήματι τοῦ μάρτυρος εἴκων, ποία δὲ στόματι λύκου φειδὼ γένοιτο τοῦ ἤδη φθάσαντος ἐμπεσεῖν· ἀλλ' ἐκεῖνος οἱονεὶ μεταμέλειαν τοῦ ἀδικήματος ἐσχηκώς, ἀπαθῆ ἀποδίδωσι τὸν χοῖρον τῇ χήρᾳ· εἰσελθόντα δὲ τὸν μάρτυρα, τὴν Μητρόπολιν Σεβαστείας, ἡ φυλακὴ παραχρῆμα δέχεται τοῦτον τοῦ δικαστοῦ προστάξαντος· αὐτὸς δὲ τὴν ἐπιοῦσαν καθίσας ἐπὶ τοῦ βήματος καὶ τὸν ἅγιον αὐτίκα παραστησάμενος, θωπείαν τῶν πρὸς αὐτὸν λόγων δείκνυσι τὸ προοίμιον, καὶ ἀσπασμὸν προσποιούμενος, χαίροις φησὶ Βλάσιε, τῶν θεῶν φίλε, καὶ ὅς, χαίροις καὶ αὐτὸς ἔφη, κράτιστε ἡγεμών· πλήν, ἀλλὰ μὴ λέγε τούτοις θεοῖς δαίμονας ἀκριβῶς ὄντας, καὶ τοῦτο τοῖς σεβομένοις χαριζομένους, τὸ συγκληρονόμοις αὐτοὺς τοῦ αἰωνίου πυρός, ὃ ἐκείνοις ἡτοίμασται καθιστῶν· θυμὸς ἐπὶ τούτοις τὸν δικαστὴν λαμβάνει, καὶ κελεύει ῥάβδοις βαρείαις τὸν ἅγιον τίπτεσθαι, τοιούτοις δώροις τὸν κήρυκα τῆς ἀληθείας, ὁ τοῦ ψεύδους ὁμολογητὴς ἀμειβόμενος, ἐπὶ πολλαῖς δὲ ταῖς ὥραις τυπτόμενος ὁ γενναῖος, ἀναίσθητε καὶ ἀπατεὼν ἔφη, οἴει με τοιαύτῃ τιμωρίᾳ πείσειν πλάνην ἀλλάξασθαι ἀληθείας, καὶ φωτὸς σκότος, πολλοῦ ἂν καὶ οὗτος εὔκολος πρὸς τὴν τοῦ πολλῷ χείρονος αἵρεσιν ἀποδεδειγμένος, ἄλλως τε, μὴ εἰδὼς μηδὲ εἰδέναι ὅλως δυνάμενος, οἷος μοι παρίστασαι βοηθὸς ὁ ἐμὸς Χριστὸς ἀνακουφίζων μοι τὰς ὀδύνας.

Οὕτως εἰπόντα τὸν ἅγιον τῶν πληγῶν ἀνεθέντα, τὸ δεσμωτήριον πάλιν εἶχεν, ἡ μέντοι εὐσεβὴς ἐκείνη χήρα καὶ πενιχρά, τὴν τοιαύτην ἔνστασιν τοῦ ἁγίου, τὴν ὑπὲρ ἀληθείας ἀναμαθοῦσα, καὶ τοῦτο μὲν εὐσέβειαν τιμῶσα, τοῦτο δὲ καὶ ἔργον ψυχῆς εὐγνώμονος ἐπιδείξασθαι βουλομένη, θέσασα τὸν χοῖρον, ὃν πρὸ μικροῦ διαρπάσας ὁ λύκος πάλιν ἐνεγκὼν ἀπέδωκε ταύτῃ ἀφανεῖ κελεύσματι τοῦ μάρτυρος εἴκων, τοῦτο ἐκείνη γνώμῃ πλουσίᾳ καὶ μεγαλόφρονι θύσασα καὶ ἑψήσασα, κεφαλὴν καὶ πόδας λαβοῦσα καὶ κοινῷ θεμένη, ἅμα δὲ καὶ τῶν σπερμάτων ὀλίγα καὶ ὀπωρῶν καὶ ἄλλων, ὧν εὐπορεῖν οἶδε πενία, πρὸς δὲ κηροὺς ἅψασα πρόσεισιν ἐν τῇ φυλακῇ τῷ ἁγίῳ· μικρὰ καὶ μικροὺς φοβεῖν δυνάμενα κρίνασα, τῶν τὴν φροντίδι τῆς φυλακῆς πεπιστευμένων τὰ δείματα.

Τοῦτα γοῦν ἡ χήρα προσενεγκοῦσα, τοῖς ποσὶ προσπίπτει τοῦ μάρτυρος, δεομένη μεταλαβεῖν τῶν προσενεχθέντων· ὁ δὲ καὶ ἤκουσε καὶ μετέσχε καὶ εὐπροαίρετον οὕτω προσαγωγήν, φιλοτίμοις ἠμείψατο εὐλογίαις, ἐνετείλατό τε εἰπών· τοῦτο γύναι τῷ σχήματι ἐπίμεινον τὴν μνήμην ἑορτάζουσα τὴν ἐμήν· καὶ μὴ ἄψευστός ἐστι, πρὸς Θεὸν ἐλπίς, ὅτι μὴ τὸν σὸν οἶκον ἡ αὐτοῦ ἐπιλείψῃ ἀγαθοσύνη, οὐ μήν, ἀλλὰ καὶ οὓς ἕτερος τὸν τρόπον τὸν σὸν ζηλώσας κατά γε

www.tezaurliturgic.ro

τὴν ἐμὴν μνήμην παραπλησίως ποιεῖ, ἀφθόνους καὶ αὐτὸς ἀπολαύσεται τῆς ἄνωθεν εὐλογίας, ἄχρι τέλους αὐτῷ παρατεινομένης· ἡ μὲν οὖν μακαρία γραῦς ἐκείνη, τῆς μεγαλοδώρου ταύτης ἐντολῆς τυχοῦσα, οἴκαδε ἀπήει· πληρωθέντος καὶ ἐπ' αὐτῇ δηλαδὴ τοῦ Κυριακοῦ παραγγέλματος, ὅτι λαληθήσεται πανταχοῦ, ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς· τῷ ἡγεμόνι δὲ καὶ αὖθις ἐπὶ τοῦ βήματος προσήχθη ὁ μάρτυς, καὶ παραστάντι, θύεις ἔφη, Βλάσιε τοῖς θεοῖς; ἢ θελήμασι κακῶς ἀπολέσθαι, καὶ ὅς, χειροποιήτοις ἔφη θεοῖς, ὑπ' ἀνθρώπων πεποιημένοις θυσίαν προσενεγκεῖν ἀνθρώπου νοῦν οὐκ ἔχοντος οὐδὲ φρένας ἐστίν· οὕτως ὁ μάρτυς εἰπών, ἐπὶ ξύλου τε εὐθὺς ἀνηρτᾶτο, καὶ τὰς πλευρὰς κατεξαίνετο πλὴν ἀλλὰ καὶ οὕτως, ἀπτόητος ἦν, ἀκατάπληκτος, τῶν βασάνων καταφρονῶν, τοῖς κολασταῖς μικροῦ καὶ χάριν ὁμολογῶν, ἀγαθῶν αὐτῷ προξένους ἀπορρήτων καθισταμένοις· διὸ καὶ τὸν δικαστὴν πλήττειν αὐτὸν οἰόμενον καὶ τούτῳ χειροῦσθαι, αὐτὸς ἔπληττε μᾶλλον τῷ ἀχειρώτῳ καὶ ἀδαεῖ τοῦ φρονήματος, καὶ τοῖς λόγοις ὡς κέντροις καθικνεῖτο τῆς ἐκείνου ψυχῆς· οὐ πτοοῦμαι τὰς κολάσεώς του λέγων, πρὸς τὰς μελλούσας ἀντιδόσεις ἀποσκοπῶν.

Ἐπεὶ δὲ καὶ κατενεχθῆναι τοῦ ξύλου μὲν ἐκελεύετο, τῇ φρουρᾷ δὲ καὶ αὖθις παρεπέμπετο· προϊόντι πρὸς τὴν φρουράν, γυναῖκες ἠκολούθουν ἑπτά, τὴν πίστιν εὐσεβεῖς, τὸν βίον τῇ εὐσεβείᾳ σύμφωνον ἔχουσαι· αὗται τοίνυν ἀκολουθοῦσαι, τὰς πιπτούσας ἐδέχοντο τῶν αἱμάτων ῥανίδας· καὶ ταύτας ἁβρότερον, ἢ αἱ φιλόκοσμοι τοῖς μύροις ἑαυτὰς ἔχριον, ἀμέλει καὶ μισθὸν μέγαν, τῆς μεγάλης αὐτῶν πίστεως ἐδέχοντο κατὰ πόδας· μαρτυρικῆς δόξης ἀρχὴν καὶ πρόφασιν, τόνδε τὸν τρόπο εὑροῦσαι· παραχρῆμα γὰρ ὡς χριστιαναὶ συνελήφθησαν, καὶ πρὸς τὸν δικαστήν, ὥς τι τῶν ἑρμαίων ἀπήχθησαν· ἅς περ ἐκεῖνος ἰδών, τοῦτο δὴ τῷ αὐτῷ περισπούδαστον, θύειν ἐκέλευσε τοῖς κιβδήλοις, αἱ δὲ οὔτε πεισθῆναι τὸ παράπαν εἰς διάνοιαν ἔθεντο οὔτε δὲ φανερῶς ἀπείπαντο· σοφώτερον δὲ ἢ κατὰ γυναῖκας τὸ πρᾶγμα μετῆλθον· ἀλλ' εἰ βούλει φησὶν ἡμᾶς θῦσαι καθὼς προσῆκον ἐστὶ θεοῖς, οὕτω προσενέγκομεν τὴν θυσίαν, καὶ μὴ ἀνίπτοις ὃ δὴ λέγεται ταῖς χερσίν· ἀλλ' ἐπὶ λίμνης πλησίον, ἡμῖν μὲν ὡς αὐτὴν πορευτέον· ὥστε καθήρασθαι καλῶς καὶ χεῖρας καὶ ὄψιν· ὁ δὲ ἡγεμών, ἐμβαλὼν τοὺς θεοὺς σάκκῳ, καὶ αὐτὸν σφραγίδι τῇ σῇ πρὸς τὸ ἀκριβὲς σημηνάμενος, ἐπίτρεψον ἐγγύς που προσενεχθῆναι· ὥστε οὕτω καθηραμένας ἡμᾶς, προσενεγκεῖν αὐτοῖς τὴν θυσίαν. Ἤσθη ὁ ἡγεμὼν τῶν λόγων ἀκούσας, καὶ σπουδῇ κατὰ τὸ εἰρημένον ἐποίει· αἱ δὲ τοὺς θεοὺς ἐν χερσὶν λαβοῦσαι, φεῦ αἱ γυναῖκες τοὺς μάκαράς τε καὶ οὐρανίωνας· θυσίας μὲν ἢ προσκύνησιν αὐτοῖς, οὐδεμίαν προσῆγον, ἀλλ' ὃ ἔδει καὶ αὐτὰς ποιεῖν κἀκείνοις παθεῖν. Τοῦτο λίαν εὐφυεῖς καὶ κατὰ καιρὸν ἔδρασαν· καὶ κακοῖς κακῶς αὐτοῖς τῷ βυθῷ παραπώλεσαν· δικαίως ἂν εἶπον αἱ φιλαλήθεις γλῶσσαι, καὶ ζήλῳ τεθιγμέναι καὶ παρρησίᾳ, ἐπεὶ καὶ αὐτοὶ πολλοῖς πολλάκις τοῦ πεσεῖν εἰς ἀπωλείας βυθὸν κατέστησαν αἴτιοι. Τοῦτο μαθόντα τὸν ἡγεμόνα, θυμὸς ἐπήει δεινὸς καὶ φρενῶν σύγχυσις, καὶ οὐκ εἶχεν ὃ δράσσειν· ἠλλοιοῦτο τὴν ὄψιν, συνεκρότει τὰς χεῖρας, βοῆς ὅλον ἐπλήρου τὸν τόπον· παίγνιον οὕτω γυναίων γεγενημένος, ὁ μεγάλα

www.tezaurliturgic.ro

φυσῶν, τοῖς στρατιώταις ἠπείλει τὰ χαλεπώτατα, τί μὴ λέγων ἐπέσχε τε τὰς γυναῖκας, καὶ τοὺς θεοὺς ἡμῶν κατεπόντισαν. Συλληφθεῖσαι τοιγαροῦν αἱ ἅγιαι καὶ δόλῳ, κρινόμεναι παρ᾽ αὐτῶν, θεὸς ἀληθινὸς ἔφησαν, πῶς ἂν ὑποσταίη δόλον; ἐπεὶ δὲ ὁ θυμὸς ἀκμαιότερον ἔτι τοῦ ἡγεμόνος καθίκετο, κελεύει κάμινον ἐκκαῆναι, μόλυβδόν τε διὰ πυρὸς ἀναλυθῆναι, καὶ κτένας σιδηρὰς ἀνεχθῆναι, πρὸς δὲ καὶ ἑπτὰ χαλκὰ ψέλλια πυρωθῆναι· εἶτα καὶ θατέρῳ μέρει, ὀθόνην ἀπλωθῆναι λαμπράν, καὶ βλέψας πρὸς τὰς ἁγίας, ἕν ὑμεῖς τῶν δύο φησί, τὴν ὀθόνην δείξας, καὶ ὅσα περὶ τὴν κάμινον ἑλέσθαι πρόκειται· ἢ προσκυνῆσαι τοῖς θεοῖς καὶ ζῆσαι τῆς ὀθόνης ἐπιβάσας ταύτης, εἰ μὴ βουλομένας τοῦτο ποιεῖν ὑποβληθῆναι τούτοις δὴ τοῖς ἡτοιμασμένοις· μία ἐξ αὐτῶν ἐπὶ δυσὶ παισὶ ζῶσα, διαρπάσασα τὴν ὀθόνην εἰς μίαν κάμινον ἐμβέβληκε καὶ κατέκαυσεν, ἣν εἶπεν ἐκεῖνος σύμβολον εἶναι ζωῆς, πυρὸς ἔργον αὐτὴ ποιήσασα, καὶ πράγματι τὴν ἀπολογίαν δοῦσα, ὅτι τῆς μὲν παρούσης ταύτης ζωῆς, προδήλως καταφρονεῖ· ἐφίεται δὲ τῆς μελλούσης· ὡς δὲ τοῦτο γέγονεν, αἰσθόμενος, ὥσπερ ὃ τῇ μητρὶ ἔδοξε τὰ παιδία, μὴ ἀφῇς ἡμᾶς εἶπον ἐπὶ τῆς γῆς ταύτης ἀπολέσθαι, ἀλλ᾽ ὥσπερ γάλακτος ἐνέπλησας μητρικοῦ, οὕτω δὴ καὶ κρεμασθείσας, ὑπὸ κτενίων τῶν σιδηρῶν ξέεσθαι, οὗ γενομένου, γάλα μεν ἀντὶ αἵματος ρέει ἐδόκει τοῖς στρατιώταις, αἱ σάρκες δὲ λαμπρότεραι χιόνος ἐφαίνοντο, ὡς γὰρ ἄγγελοι Θεοῦ, κατελθόντες, τὰ πεπονθότα τε τῶν μελῶν ἰῶντο, καὶ αὐτὰς θάρσους ἐμπιπλῶντας μὴ φοβεῖσθε ἔλεγον, δεῖ γὰρ τὸν καλὸν ἐργάτην οὐκ ἄρξασθαι μόνον, ἀλλὰ καὶ εἰς πέρας τὸν ἀρχθὲν ἀγαγεῖν, καὶ οὕτως εὐλογηθέντα παρὰ τοῦ ἐργοδότου, τοῦ μισθοῦ τε τυχεῖν, καὶ οἴκαδε χαίροντα παρευθῆναι· οὕτω δὴ καὶ ὑμῖν καλῶς τὸν ἀγῶνα τελειωτέον, ἵνα καὶ τῆς αἰωνίου ζωῆς, τυχεῖν γένηται παρὰ τοῦ Σωτῆρος. Τότε τοίνυν ὁ ἡγεμὼν κελεύει, τοῦ μὲν ξύλου κατενεχθῆναι ταύτας, βληθῆναι δὲ εἰς τὴν κάμινον, ὡς δὲ καὶ ἐβλήθησαν, θαῦμα τὸ τῶν τριῶν ἠκολούθει Παίδων, κατ᾽ οὐδὲν ἀνόμιον, ἥ τε γὰρ φλὸξ ἐσβέσθη καὶ αὐταὶ ἀπαθεῖς ὅλως ἐξήγοντο τῆς καμίνου, ἀλλ᾽ ἡ πονηρὰ καὶ βέβηλος τοῦ ἡγεμόνος ψυχή, οὐ θείας εἶναι δυνάμεως, ἀλλὰ γοητείας τὸ γεγονὸς ἔκρινε, καὶ τοῦτο ταῖς ἁγίαις ἀνέδειξε γυναιξίν, πλήν, ἀλλὰ τὰ τοιαῦτα φήσας ἀποθέμεναι πάντα ,θύσατε τοῖς θεοῖς, αἱ δὲ δόξαν τῷ Θεῷ προσῆγον, ἐν μέσῳ Ἐκκλησίας ὑμνοῦσαι, κατὰ τὸν θεῖον Δαβίδ, εἶτα καὶ πρὸς τὸν ἡγεμόνα, σπεῦσον ὃ βούλει ποιεῖν, κεκλήμεθα γὰρ εἰς τὴν τῶν Οὐρανῶν Βασιλείαν· θυμοῦται πρὸς τὸν λόγον ὁ δικαστής, καὶ τοῦτο ταῖς ἁγίαις αἴτιον γίνεται, πληρωθῆναι τὸ ἐπιθύμημα· δίδωσι γὰρ εὐθὺς τὴν ἀπόφασιν, τὸν διὰ ξίφους αὐτῶν θάνατον καταχρίνας· ἐπεὶ οὖν ὁ τόπος αὐτὸς τῆς τελειώσεως εἶχε, δέουσαι τῶν δημίων αἱ ἅγιαι καιροῦ τυχεῖν προσευχῆς· καὶ τελοῦσαι προσηύξαντο οὕτως· «ὁ διαχωρίσας ἡμᾶς ἐκ τοῦ σκότους καὶ κελεύσας εἰς τὸ φῶς, ὁ τὸ ὄντως γλυκύτατον φῶς, δεόμεθά σου Κύριε Βασιλεῦ, σύνταξον ἡμᾶς τῇ πρωτομάρτυρί σου Θέκλῃ, τῶν Ἱερῶν εὐχῶν τοῦ Ἱερωτάτου ἡμῶν Πατρὸς Βλασίου τοῦτο διαπρεσβευομένων ὑπὲρ ἡμῶν, ὅς ἡμῖν ὁδηγὸς κατέστη πρὸς τὴν ἄθλησιν ταύτην, καὶ τὴν τῆς αἰωνίου ζωῆς ἀπόλαυσιν».

www.tezaurliturgic.ro

Οὕτω προσηύχοντο, γόνυ κλίνασαι καὶ τὴν κεφαλὴν τῇ γῇ προσερείσασαι, εἶτα διαναστᾶσαι, πάλιν προσηύξαντο, τὰ μέντοι παιδία τῇ μητρὶ προσελθόντα, οἱ στέφανοι ἡμῶν εἶπον εὐπρεπεῖς ἤδη παρὰ τοῦ ἐπουρανίου Βασιλέως εἰσίν· παράθεσθε ἡμᾶς τῷ ἀθλητῇ τοῦ Χριστοῦ Βλασίῳ, καὶ τοῦτο μὲν οὕτω γέγονεν ἐπισπεύσας δὲ ὁ Σπεκουλάτωρ, ἀποτέμνει τὰς τῶν ἁγίων κεφαλάς, καρπὸν ἀληθῶς τῶν δεσμῶν Βλασίου, καὶ ἀπαρχὴν τῆς αὐτοῦ ἀθλήσεως γενομένων, καύχημα γυναικῶν, ἀνδρῶν καὶ ἀνδρείαν οὐκ εὐχερὲς τύπωμα.

Τὸ λοιπὸν καὶ ὁ θεῖος Βλάσιος ἐκβάλλεται τῆς φυλακῆς, καὶ τῷ δικαστῇ πρὸς παράστασιν ἄγεται, καὶ αὐτῷ παραστάντι, κἂν γοῦν ἄρτι Βλάσιε θύεις φυσὶν ἢ οὔ· ὁ δὲ ἅγιος, ἀλλὰ νοῦν ἔχων τίς, εἶπε, καὶ τοὺς ἔνδον τῆς ψυχῆς ὀφθαλμούς, οὐχ ὡς σὺ τυφλώττων, ἀπολιπὼν Θεὸν ζῶντα, βδελίγμασι τοιούτοις ἀνέξεται προσκυνεῖ, καὶ ὁ δικαστὴς τί οὖν; εἰ κατὰ τῆς λίμνης ἀφήσω σε ταύτης, ἱκανὸς ἔσται ὃν σέβεις Χριστόν, ρύσασθαί σε διαφθορᾶς; εἰ σὺ εἶπεν, ὁ ἅγιος, τοιούτοις προσανέχων εἰδώλοις σώζεσθαι πιστεύεις, ἐγὼ Θεῷ ζῶντι λατρεύω, οὐχὶ δείξωσι τὰς αὐτοῦ δυνάμεις κἂν τοῖς ὕδασιν;

Τότε τοίνυν τοῦ ἡγεμόνος κελεύσαντος ριφθῆναι κατὰ τῆς λίμνης τὸν ἅγιον, φθάσας αὐτοῖς, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ τὸ ὕδωρ ἐπισφραγίσας, ἑαυτὸν καθῆκε· καὶ οὐ ταὐτὸν πέπονθε τοῖς τοῦ δικαστοῦ θεοῖς, οὓς αἱ ἁγίαι γυναῖκες καλῶς τοῖς ὕδασι παραπώλεσαν· οἱ μὲν γὰρ ὕλη καὶ σῶμα ψιλὸν οὐδὲν ἔχων θεῖον ἐπισκίαζον, χρυσὸς τυχόν, ἢ ἄργυρος, ἢ χαλκός, ἤ τι τῶν τοιούτων· ἀμέλει καὶ ὁ φύσει τούτοις ἐστίν, ὑπέστησαν ἀκολούθως· ὁ δὲ σῶμα μὲν ἔχων ἀληθείᾳ καὶ χάριτι δυναμούμενον, διὸ καὶ κρείττων ὁ θαυμάσιος ἐδείκνυτο τῶν ὑδάτων, καὶ ἑωρᾶτο πᾶσιν ἐπὶ τῆς λίμνης ἀσφαλῶς τε καὶ ἀδεῶς καθήμενος· ἔνθα καὶ πρὸς τοὺς παρεστῶτας δημίους, εἴ τις φησί, καὶ τοῖς ὑμετέροις θεοῖς δύναμις, ὀφθήτω τανῦν, καὶ μηδὲν ὑποδειλιάσαντες εἴσιτε καὶ ὑμεῖς, ὁ μὲν οὖν οὕτως ἔφη, τῶν δὲ θράσος ἢ κουφότης ἢ καὶ ματαία ἐλπὶς τὸν νοῦν διασείσασα, παρέπεισεν οὐκ ἐλάττοις ἢ ὀκτὼ ἄνδρας πρὸς τοῖς ἑξήκοντα εἰσελθεῖν, καὶ παραχρῆμα τρόπαιον ὑδάτων ἢ ἀνοίας μᾶλλον γεγόνασι, καὶ ἀθλίως ἀπώλοντο· τὸν μέντοι ἅγιον Ἄγγελος Κυρίου κατελθών, ἔφη τὸν ἡτοιμασμένον σοι παρὰ Χριστοῦ στέφανον· ἀναστὰς οὖν ὁ μάρτυς οἷα κατὰ γῆς βαδίζων, ἐξήει, ἔλαμπε δὲ τὸ πρόσωπον αὐτοῦ ἡλίῳ δίκην τε καὶ ἡ δὲ καὶ ἐπαγωγὸν καὶ κομιδῇ θεσπέσιον. Ἐπειδὴ καὶ τῷ Ἡγεμόνι παρέστη, τί δὲ ἐκεῖνος φησί, ὅλως σοι κέκριται μὴ θῦσαι μηδαμῶς τοῖς θεοῖς; καὶ ὁ ἅγιος, Χριστοῦ δοῦλος ὤν, ἀπείρνημαι τὸ παράπαν δαίμοσι προσκυνεῖν· ἀπογνοὺς τοίνυν ὁ Ἡγεμὼν τὴν μεταβολήν, δίδωσι καὶ κατ᾽ αὐτοῦ τὴν ἀπόφασιν εἰρηκὼς οὕτως· Βλάσιος ὁ καὶ ἐμοὶ ἀπειθήσας, καὶ βασιλέως τοῦ αὐτοκράτορος καταφρονήσας τοὺς θεοὺς τε ἀτιμάσας, καὶ τοὺς ἑξήκοντα ὀκτὼ στρατιώτας ἀπωλέσας, ξίφει κεφαλήν, ἅμα τοῖς δυσὶ παιδίοις, ἀποτμηθήτω.

Τῆς ἀποφάσεως οὖν οὕτω ἐξενεχθείσης ὁ ἅγιος εἰς εὐχὴν ἑαυτὸν συντείνας, ὁ Θεὸς τῶν δυνάμεων, εἶπεν, ὁ καθήμενος ἐπάνω τῶν χερουβείμ, καὶ ἀνοίγων καταρράκτας οὐρανῶν, ὁ τὰ ἐσκοτισμένα φωτίσας ἐπιστρέψας τε τὰ πε-

www.tezaurliturgic.ro

πλανημένα· καμὲ τῆς τῶν εἰδώλων πλάνης ἐλευθερώσας, ἐπήκοός μου γενοῦ τοῦ δούλου σου καὶ ὃς ἂν δεηθείη τῆς σῆς χριστότητος, καὶ τοῦ ὀνόματός μου μνησθῇ, ἢ νοσήματος συνεχόμενος, ἢ συμφορᾷ πιεζόμενος, ἢ λύπῃ τινὶ παλαίων, ἢ ὀδύνης ἡττώμενος, πρόφθασον αὐτὸ Βασιλεῦ ἐν εὐλογίαις χρηστότητος, καὶ τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ, δὸς αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ μὴ ἀποστερήσῃς εἰς δόξαν τοῦ μεγαλοδυνάμου καὶ θεοπρεποῦς ὀνόματος.

Ταῦτα ἐκεῖνος τε ηὔξατο, καὶ Θεοῦ ἔτυχεν ἐπακούοντος, καὶ τὴν τῶν αἰτηθέντων πλήρωσιν ἐπαγγελλομένου. Ἔπειτα καὶ ὁ Σπεκουλάτωρ ἐξενεγκὼν αὐτὸν σὺν τοῖς βρέφεσι τοῖς δυσί, ἐκ τοῦ Πραιτωρίου, τέμνει τὰς ἱερὰς αὐτῶν κεφαλὰς ἐπὶ πέτρας, εἴσω τοῦ τείχους ἐν Σεβαστείᾳ· καὶ τότε μὲν ἐκεῖσε, πιστοί τινὲς ἄνδρες, ὡς ἐγχρωροῦν ἦν, διὰ τὸν καιρόν, τὸ τίμιον αὐτοῦ σῶμα, μετὰ τῶν παίδων κατέθεντο· μετὰ δὲ ταῦτα, γυναικὶ τινὶ τῶν εὐσεβῶν τε καὶ φιλοθέων, ἐπιμελὲς γέγονε τοῦ καὶ τὸν τόπον κοσμῆσαι, καὶ φιλοτιμώτερον πρὸς τὴν τῶν ἱερῶν τούτων λειψάνων ὑπουργῆσαι κατάθεσιν. Μαθοῦσα δὲ καὶ ἡ εὐσεβὴς ἐκείνη χήρα καὶ γραῦς τὴν τοῦ ἁγίου τελείωσιν, οὐ λήθην ἔσχε τῶν αὐτοῦ ἐντολῶν, ἀλλ᾽ ὥσπερ ζῶντι τὸ εὔγνωμον ἅτε δὴ καὶ χάριτος αὐτῇ ἄρξαντι ἔσπευσε φυλάξαι, οὕτω πολλῷ πλέον ἢ μετὰ θάνατον, εἴπερ ὅλως μαρτύρων θάνατον δεῖ καλεῖν, ἀλλὰ μὴν ζωῆς μᾶλλον μὴ ληγούσης ἀρχήν, καὶ σπουδαιότητα τὴν αὐτοῦ μνήμην κατὰ πολὺ τὸ περιὸν ἑορτάζειν. Τὸ σχῆμα δηλαδὴ σώζουσα, ὃ τῇ φυλακῇ τότε παραμένοντι πεποιήκει· οὐ συγγενεῖς μόνον ἐκ τῶν τῆς γῆς σπερμάτων, ἀλλὰ καὶ φίλας, ἅπαντας δεξιουμένη, οἵτινες ὡς ἀρχέτυπον τοῦτο παραλαβόντες καὶ μιμησάμενοι, αὐτήν τε τὴν εὐσεβῆ χήραν, καὶ γνωστοῖς πάντας, ὁμοίοις ἐδεξιοῦντο, καὶ διεδόθη τοῦτο ἄχρι καὶ σήμερον πᾶσι πιστοῖς, τὴν μνήμην τοῦ Μάρτυρος πανηγυρίζουσι φιλοθέως.

Μαρτυρεῖ μὲν οὖν ὁ θεῖος Βλάσιος, ἐν Σεβαστείᾳ τῇ πόλει. Διοκλητιανοῦ μὲν βασιλεύοντος, ἐν Ῥώμῃ, ἡγεμονεύοντος δὲ τῆς αὐτῆς χώρας Ἀγρικολάου, ὑφ᾽ οὗ καὶ βασάνους πλείστας καὶ θάνατον διὰ Χριστὸν ἐνεγκών, ἔχει πρὸς αὐτὸν τὰς αὐτοῦ κολάσεως, ὑπὲρ ἡμῶν πρεσβευούσας, καὶ νῦν μὲν εὐμάρειαν βίου τοῖς δεομένοις, ἐν τῷ μέλλοντι δέ, καὶ ζωὴν τὴν ἐν Χριστῷ, δὲ αὐτοῦ δίδωσι, τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος πάντων· ᾧ πρέπει πᾶσα δόξα καὶ προσκύνησις, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Τ**ῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι δύο παῖδες, οἱ συναθλήσαντες τῷ ἁγίῳ Βλασίῳ μετὰ τῶν ἑπτὰ γυναικῶν, ξίφει τελειοῦνται.

**Σ τ ί χ ο ι.**

Βαβαὶ τοιαύτης παίδων εὐθαρσίας!
Σπεύδουσιν ἄμφω, ποῖον ἐκτιμηθῇ φθάσαν.
Κτείνει γυναῖκας ἑπτὰ σεπτὰς τὸ ξίφος,
Οὐ τῶν γυναικῶν συσχεθείσας δειλίᾳ.

www.tezaurliturgic.ro

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη Θεοδώρας τῆς Βασιλίσσης, τῆς στερεωσάσης τὴν ὀρθοδοξίαν.

Ταῖς αὐτῶν ἁγίαις Πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Ὁ Εἱρμός.**

Τῶν Χαλδαίων ἡ κάμινος, πυρὶ φλογιζομένη, ἐδροσίζετο πνεύματι, Θεοῦ ἐπιστασίᾳ οἱ παῖδες δὲ ἔψαλον· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Φωτισμοῦ θείου ἔμπλεων, κτησάμενος καρδίαν, ἀπροσκόπως παρέδραμες, προσκόμματα τῆς πλάνης, ἐχθρῶν διαβήματα, ὑποσκελίσας σοφέ, τῇ παρουσίᾳ σου.

Ραντισμῶν τῶν αἱμάτων σου, πλάνης φλὸξ ἀπεσβέσθη· τῇ ἐλλάμψει τῶν λόγων σου, ἡ κτίσις ἐφωτίσθη, κραυγάζουσα Βλάσιε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Οὐ σκιαῖς οὐκ αἰνίγμασι, ὃν ἐπόθησας βλέπεις, πρὸς δὲ πρόσωπον, πρὸς πρόσωπον, λυθέντων τῶν ἐσόπτρων· καὶ μέλπεις γηθόμενος· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

**Θεοτοκίον**

Νυσταγμῷ κρατηθέντα με, Παρθένε ἀμελείας, ἁμαρτίας κατέλαβεν, ὕπνος θανατηφόρος, διὸ μετανοίας με, πρὸς ζωηφόρον αὐγήν, Ἁγνὴ ἐξέγειρον καὶ σῶσόν με.

**Καταβασία. Οὐκ ἐλάτρευσαν.**

**Ὠδὴ η΄. Ὁ Εἱρμός.**

Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς θαλάσσῃ ὅριον ψάμμον, καὶ συνέχων τὸ πᾶν· σὲ ὑμνεῖ ἥλιος, σὲ δοξάζει ἡ σελήνη, σοὶ προσφέροι ὕμνον πᾶσα κτίσις, τῷ Δημιουργῷ καὶ Κτίστῃ εἰς τοὺς αἰῶνας.

Ὡς κριὸς ἐθελόθυτος, ὡς ἱερεῖον δεκτόν, ὡς ἀμνὸς ἄκακος, χαίρων προσήφθης, τῷ τυθέντι ἀμνῷ εἰς ἡμῶν λύτρωσιν, καὶ μαρτύρων συνήφθης ὁμηγύρει, μέλπων σὺν Ἀγγέλοις, τὴν ἱερωτάτην παμμάκαρ ὑμνῳδίαν.

www.tezaurliturgic.ro

Σταλαγμοῖς τῶν αἱμάτων σου, ἀποξηράνας βυθὸν ἀθεΐας μάρτυς, ἔβλυσας κόσμῳ ἰαμάτων κρουνούς, παύοντας καύσωνα, παθημάτων παντοίων, τῶν ἐν πίστει σοι καταφευγόντων, καὶ ὑπερυψούντων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Οὐκ ἀρνούμεθα Κύριον, τὸν ἐπὶ πάντων Θεόν, ἱερῶν γυναίων χορός, ἐβόα ὁ μακάριος· ὅθεν ξεόμεναι, καὶ πυρὶ ὁμιλοῦσαι, καὶ σιδήρῳ κάρας ἐκμηθεῖσαι, ἔχαιρον ὑμνοῦσαι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Ἱεράν σε προήγγειλαν, παρθενομῆτορ φωναὶ ἐσομένων, Κόρη τοῦ Ποιητοῦ σου, ὑπὲρ φύσιν τροφήν, γέννησιν ἄρρητρον, ὡς καὶ σύλληψιν ξένην κεκτημένην· ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Καταβασία. Παίδας εὐαγεῖς ἐν τῇ καμίνῳ.**

**Ὠδὴ θ΄. Ὁ Εἱρμός.**

Τὸν προδηλωθέντα, ἐν ὄρει τῷ νομοθέτῃ ἐν πυρὶ καὶ βάτῳ, τόκον τὸν τῆς ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν.

Ὡς ὑπερφυεῖ κλίμακι, τῷ αἵματι μάρτυς, ἐπιβὰς τὰς ἄνω μονάς, κατέλαβες ὡραῖος, ἀγλαΐας ἀποδειχθεὶς τῶν ἀγώνων, καὶ τῷ στεφοδότῃ σου παρίστασαι.

Σὲ τὸν φωταυγῆ Ἥλιον, ποθοῦσαι γυναῖκες, καὶ τῶν ἡδυπνόων Χριστὲ ὀσφρανθεῖσαί σου μύρων, διὰ πάθους τὸ σὸν εἰκόνιζαν πάθος, καὶ τῆς ἀφθαρσίας ἠξιώθησαν.

Ἡμεροφαὴς ὡς ἀστήρ, ταῖς ἄνω χορείαις, αὐλιζόμενος Βλάσιε, τὴν φωσφόρον σου μνήμην, τοὺς γεραίροντας ζοφερῶν ἐγκλημάτων, ῥῦσαι ταῖς πρεσβείαις σου δεόμεθα.

Θεοτοκίον

Φέρεις ἐν ἀγκάλαις Χριστὸν τὸν διακρατοῦντα, οἰκουμένην πᾶσαν, χειρὶ ἁγνὴ Παρθενομῆτορ, ὃν ἱκέτευε ὡς Υἱόν σου καὶ Κτίστην, σῶσαι τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

**Καταβασία. Ἅπας γηγενής.**

www.tezaurliturgic.ro

**Ἐξαποστειλάριον· Ἐν Πνεύματι τῷ ἱερῷ.**

Μαρτύρων σε ὡράϊσμα, ἱερέων τὸ κλέος, γινώσκομεν πανόλβιε, Βλάσιε Ἱεράρχα· ὡς θῦμα γὰρ προσήνεγκας, σεαυτὸν καὶ τέθυσαι τῷ διὰ σὲ εἰς θυσίαν, ἑκουσίως ἐλθόντι ἀγαθότητι ἀφράστῳ καὶ βουλήσει ἀρρήτῳ.

**Ἕτερον ἦχος γ΄. Ἐπεσκέψατο ἡμᾶς.**

Ἱεραρχῶν τὴν καλλονήν, τῶν ἀθλοφόρων τὸ κλέος, τῆς Σεβαστείας τὸν βλαστόν, τῶν ἀναργύρων τὸ κῦδος, τῆς Ἐκκλησίας τὸν κόσμον, τὸν Βλάσιον εὐφημοῦμεν, ὡς ῥύστην καὶ πολιοῦχον. (1)

**Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.**

Μεγάλως σε ἐδόξασεν, ἐπὶ τῆς γῆς, ὁ Κύριος, Βλάσιε Ἱεράρχα, κρήνην, τὸ σῶμά σου δείξας, μῦρον εὐῶδες ἔνδοξε, ἀέναον ὡς βλύζουσαν· πάθη ψυχῆς καὶ σώματος, τῶν ἀδιστάκτῳ καρδίᾳ, σοὶ προστρεχόντων ἰᾶται.

**Θεοτοκίον ὅμοιον.**

Μαρία ὁ χρυσόπλοκος, Θεότητός τε θάλαμος, εὐγένεια βροτῶν γένους, ἡ κοσμήσασα κόσμον τὴν ἀκοσμίαν κόσμησον, ψυχῆς ἐμῆς τὸ ἄκοσμον, ταῖς ἐκ πόθου κοσμούσης σε, ὑμνολογίαις Παρθένε.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ προσόμοια τέσσαρα.**

**Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.**

Ἀγαλλομένῃ καρδίᾳ καὶ σταθερῷ λογισμῷ πρὸς τοὺς ἀγῶνας Μάρτυς, ηὐτομόλησας ὄντως, μὴ πτήξας τῶν βασάνων τὰ ἀλγηνά, οὐ τὸν βίαιον θάνατον· ὅθεν νομίμως ἀθλήσας, περιφανῶς, ἐστεφάνωσαι, ὦ Βλάσιε. (2)

Ὡς προμηθέα σε πάντων, ὑμνοῦμεν Βλάσιε, καὶ λογικῶν θρεμμάτων, καὶ ἀλόγων πασχόντων· πάντας γὰρ ἰσχύεις, θεράπων Χριστοῦ, εὐεργετεῖν καὶ ἰᾶσθαι πιστῶς· τὴν γὰρ τοῦ Πνεύματος χάριν πεπλουτηκώς, δαψιλεύεις τὰ θαυμάσια.

---

(1) Ποίημα Δ. Μπόμπολα, οἰκονόμου.
(2) Ὁμοίως.

www.tezaurliturgic.ro

Χριστὸς τὸ ζῆν σοι παμμάκαρ, καὶ τὸ θανεῖν ἀληθῶς, κέρδος ἐδείχθη πίστει, κατὰ Παῦλον τὸν μέγαν, Βλάσιε θεόφρων, ἐπεὶ δι' αὐτόν, προθυμότατα τέθνηκας· καὶ σὺν αὐτῷ βασιλεύεις διὰ παντός, εἰς ζωὴν τὴν ἀτελεύτητον.

Πλουσίαν χάριν Τρισμάκαρ, Βλάσιε εἴληφας, παρὰ Χριστοῦ τὰς νόσους, τῶν ψυχῶν καὶ σωμάτων, ἰᾶσθαι καὶ ἐξόχως τὰ ἀλγηνά, τῶν ψυχῶν ἀρρωστήματα, διὸ θεράπευσον Ἅγιε καὶ ἡμᾶς, τοὺς κατ' ἄμφω δεινῶς πάσχοντας.

**Δόξα ἦχος πλ. α'.**

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν περιχαρῶς, καὶ χορεύσωμεν ἀγαλλόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τοῦ Ἱεράρχου Χριστοῦ, Ἱερεῖς καὶ ἄρχοντες συντρεχέτωσαν καὶ τῶν θαυμάτων δεξάμενοι τὴν χάριν, καὶ ταῦτα τοῖς χρήζουσιν, ἐκχέοντα ποταμηδόν, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν. Οἱ πένητες τὸν πλουτισμόν, οἱ δαιμονῶντες τὸν ῥύστην, οἱ ἐν συμφοραῖς τὸν σωτῆρα, οἱ πονοῦντες τὸν ἰατρόν, οἱ καχεκτοῦντες τὴν εὐεξίαν, οἱ ὁδοιπόροι τὸν ὑποδίτην, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες οὕτως εἴπομεν· ἔνδοξε Βλάσιε, πρόφθασον καὶ λύτρωσαι ἡμᾶς τοὺς τιμῶντας τὴν μακαρίαν σου ἄθλησιν, πολυτρόπων βασάνων καὶ πάσης ἄλλης ὀργῆς.

**Καὶ νῦν Θεοτόκιον. Μακαρίζομέν σε Θεοτόκε Παρθένε κτλ.**

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

**Δίδοται καὶ Ἅγιον Ἔλαιον τοῖς πιστοῖς ἐκ τῆς κανδήλας, ψαλλομένων τῶν Ἰδιομέλων.**

**Ἦχος δ'.**

Ὡς καλὸς παιδοτρίβης, καὶ διδάσκαλος τῆς εὐσεβείας, τῇ ἐνεργείᾳ καὶ δυνάμει τῶν θείων λόγων σου, γυναῖκας φιλοθέους ὑπήλειφας, πρὸς ἀγῶνας μαρτυρικούς, τὸ ἀσθενὲς τῆς φύσεως αὐτῶν ῥωννύων ἐν Χριστῷ· μεθ' ὧν τὸν δρόμον τῆς ἀσκήσεως καλῶς τελέσας, εἰς νυμφῶνα οὐράνιον φαιδρῶς συναγάλλῃ, διπλῷ στεφάνῳ τῆς θείας δόξης σεμνυνόμενος, καὶ ἐξαιτούμενος σὺν αὐταῖς, τὴν εἰρήνην ἡμῖν δοθῆναι, καὶ τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro

Ἦχος πλ. β΄.

Βλαστήσας ἐν τῇ ἀσκήσει τῶν θείων ἀρετῶν, φερωνύμως Βλάσιε, ἐξήνθησας Δαυϊτικῶς, ὥσπερ φοῖνιξ, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, καὶ ὡσεὶ κέδρος ἐπληθύνθης τοῖς κατορθώμασιν· ὡς ἄμπελος δὲ εὐθυνοῦσα ἐν οἴκῳ Θεοῦ τῷ καιρῷ τοῦ μαρτυρίου, τεμνόμενος βασάνων ποιναῖς, ἐκ καρποῦ τῶν ἀγώνων σου, ἔβλυσας ἡμῖν οἶνον νοητὸν ἐξ οὗ ἰδόντες, εὐφροσύνης ἐνθέου τὰς καρδίας πληρούμεθα· καὶ συμφώνως συνελθόντες, ἐν τῇ σεβασμίᾳ μνήμῃ τῆς σῆς τελειώσεως, μακαρίζοντες εὐφημοῦμέν σε, αἰτούμενοι λαβεῖν διὰ σοῦ, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα ἦχος πλ. δ΄.

Ὡς ὑπήκοος Χριστῷ, μέχρι θανάτου γενόμενος ἀοίδιμε Βλάσιε, τοὺς ἀτιθάσους θῆρας, ὑπείκοντάς σοι ἔσχες, ὡς ὁ πρωτόπλαστος πρὸ τῆς παρακοῆς, ὡς μιμητὴς δὲ τῶν Ἀποστόλων τὴν χάριν τῶν ἰαμάτων ὡς ἐκεῖνοι ἐπλούτισας, ὡς Ἱεράρχης δὲ καὶ ποιμήν, ἔνθεν μὲν τὸν λαὸν τοῦ Κυρίου ἐν τῇ πίστει ἐστήριξας, ἐκεῖθεν δὲ τοὺς μάρτυρας Χριστοῦ πρὸς τὸ στάδιον τῶν ἀγώνων ὑπήλειφας, καὶ ἀσθένειαν τῶν γυναικῶν καὶ παίδων πρὸς τὸ μαρτύριον ἐνεύρωσας· ὡς δὲ τύπος Χριστωνύμου λαοῦ τέθεικας τὴν ψυχήν σου ὑπὲρ τῆς Χριστοῦ ὁμολογίας. Ὅθεν ὡς διδάξας καὶ ποιήσας, μεγίστην παρρησίαν κεκτημένος πρὸς αὐτόν, αἴτησαι τὸ μέγα ἔλεος.

**Καὶ νῦν Δέσποτα πρόσδεξαι κ.λ.π.**

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

**Τὰ τυπικὰ καὶ ἐκ τοῦ κανόνος ᾠδὴ γ΄ καὶ στ΄.**

**Ἀπόστολος γ΄. Κυριακὴ τῶν Νηστειῶν, Εὐαγγέλιον πρώτης Νοεμβρίου.**

**Εἰς τὰ Δίπτυχα Μεγαλυνάριον τοῦ Ἁγίου.**

Χαίροις ἰαμάτων θεῖος βλαστός, καὶ τῆς Σεβαστείας ὁ ἀσύλητος θησαυρός, λειτουργὲ Κυρίου, Βλάσιε τρισμάκαρ, Κυρίου τῇ δυνάμει, φρούρει τοὺς δούλους σου.

**Εἰς τὸ ἐξαιρέτως Ἄξιον ἐστίν. Κοινωνικὸν εἰς μνημόσυνον καὶ ἀπόλυσις.**

**Μεγαλυνάρια τοῦ Ἁγίου ψαλλόμενα εἰς τὴν λιτανείαν τῆς εἰκόνος αὐτοῦ.**

www.tezaurliturgic.ro

Πάτερ Ἱεράρχα καὶ ἀθλητά, πρέσβευε ἀπαύστως, τῷ Κυρίῳ ὑπὲρ ἡμῶν, ὅπως λυτρωθῶμεν, παντοίων τε κινδύνων, ἀνάξιοι γὰρ ὄντες, σὲ ἱκετεύομεν.

Δεῦτε οἱ νοσοῦντες τὸν Ἰατρόν, οἱ ἐν τοῖς κινδύνοις, τὸν ὑπέρμαχον βοηθόν, τὸν τῆς Σεβαστείας φρουρόν τε καὶ ποιμένα, Βλάσιον τὸν θεῖον, πάντες τιμήσωμεν.

Δεῦτε ἀνυμνήσωμεν οἱ πιστοί, τὸν θεῖον ποιμένα, Ἱεράρχην καὶ ἀθλητήν, τὸν τῆς Σεβαστείας ἀκάματον προστάτην, τὸν Βλάσιον τὸν μέγαν, ὕμνοις τιμήσωμεν.

Χαίροις ἀθλοφόρε μάρτυς Χριστοῦ, χαίροις ἀσθενούντων, ὁ ταχύτατος ἰατρός, πρόφθασον ἐν τάχει καὶ λύτρωσαι κινδύνων, τοὺς πόθῳ σε τιμῶντας, ἀξιοθαύμαστε.

Πάντες ἀνακράζωμεν ἐκ ψυχῆς, Ἅγιε Κυρίου, ἀθλοφόρε Ἀρχιερεῦ, ἔχων παρρησίαν, φανοῦ ἡμῖν προστάτης, καὶ ποίησον πρεσβείαν ὑπὲρ τῶν δούλων σου.

Χαίροις τῶν Τρικάλων θεῖος πυρσός, καὶ τῶν ὀρθοδόξων ἀδαπάνητος θησαυρός, Βλάσιε Τρισμάκαρ, φανοῦ ἡμῖν προστάτης, φρουρὸς καὶ ποδηγέτης τοῖς εὐφημοῦσι σε. (1)

**Τυπικόν.**

**Ὅρα ἁπάσας τὰς περιπτώσεις τῆς ἑορτῆς τοῦ Ἁγίου Χαραλάμπους.**



(1) Ποίημα Δ. Μπόμπολα, οἰκονόμου.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΒΛΑΣΙΟΝ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

**Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον μεθ' ὃ τὸ Θεὸς Κύριος καὶ τὰ ἑξῆς.**

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὡς Ἱεράρχης καὶ κλεινὸς Ἀθλοφόρος, καὶ πεπλησμένος οὐρανίων χαρίτων, Ἱερομάρτυς Βλάσιε μακάριε, πάσης ἡμᾶς λύτρωσαι, ἀλγηδόνος καὶ λύπης, καὶ παντοίων θλίψεων, καὶ δεινῶν νοσημάτων, καὶ εὐπραγίαν δίδου ἐν παντί, τοῖς προσιοῦσι θερμῶς τῇ πρεσβείᾳ σου.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.**

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε...

**Ὁ Ν' καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς:**

**«Βλάσιε σκέπε τοὺς σοὺς ἱκέτας. Γερασίμου».**

**Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.**

Βιαίας ἀπάσης ἐπιφορᾶς, παντοίων ἐν βίῳ, συμπτωμάτων καὶ πειρασμῶν, ἀπάλλαξον Βλάσιε παμμάκαρ, τοὺς ἀδιστάκτῳ ψυχῇ προσιόντας σοι.

Λαμπρότητι Πάτερ τῶν σῶν εὐχῶν, παθῶν τὸ ζοφῶδες, διασκέδασον ἐξ ἡμῶν, καὶ ρῶσιν καὶ χάριν καὶ ὑγείαν, δίδου ἡμῖν τοῖς τιμῶσί σε Βλάσιε.

Ἀπαύστως παρέχων τὰς δωρεάς, πλουσίᾳ χειρί σου, Πάτερ Βλάσιε τοῖς πιστοῖς, προστάτης καὶ μέγας ἀντιλήπτωρ, καὶ ἀρωγὸς ἡμῶν ὤφθης θερμότατος.

**Θεοτοκίον**

Σωτῆρα τοῦ κόσμου καὶ Λυτρωτήν, τεκοῦσα Παρθένε, τὸν τῶν ὅλων Δημιουργόν, πάσης ἡμᾶς λύτρωσαι ἀνάγκης, καὶ ἀληθοῦς σωτηρίας ἀξίωσον.

www.tezaurliturgic.ro

'Ωδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἰαμάτων τὴν χάριν, βλύζων ἀεὶ Βλάσιε, παύεις χαλεπὰς ἀσθενείας, τῶν προσιόντων σοι· διὸ θεράπευσον, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ τὸν πόνον κούφισον, τὸν τῆς καρδίας μου.

Ἐν τῷ Θείῳ ναῷ σου, πίστει θερμῇ σπεύδοντες, τὴν σὴν σωστικὴν ἐξαιτοῦμεν, Πάτερ βοήθειαν, ἣν δίδου πάντοτε, ἡμῖν ἐν πάσῃ ἀνάγκῃ, Βλάσιε μακάριε, ὡς συμπαθέστατος.

Συμπαθῶς τὰς δεήσεις, δέξου ἡμῶν Ἅγιε, οἷα μιμητὴς Ἱεράρχα, τοῦ Πανοικτίρμονος, καὶ πάσης θλίψεως, καὶ συμφορᾶς καὶ ἀνάγκης, ἀβλαβεῖς διάσωζε, ἡμᾶς ἑκάστοτε.

Θεοτοκίον

Καταφύγιον κόσμου, Χριστιανῶν στήριγμα, Κεχαριτωμένη Παρθένε, τοὺς καταφεύγοντας, ὑπὸ τὴν σκέπην σου, ἐπηρειῶν τοῦ Βελίαρ, καὶ πάσης κακώσεως, ἀτρώτους φύλαττε.

Διάσωσον Ἱερομάρτυς Κυρίου Βλάσιε Πάτερ, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, ἐκ πάσης νόσου καὶ θλίψεως καὶ ἀνάγκης.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Προστάτης θερμός, ἐδείχθης Πάτερ Βλάσιε, τοῖς πίστει θερμῇ προστρέχουσι τῇ σκέπῃ σου, κινδύνων ἐκλυτρούμενος καὶ παντοίων ἐν βίῳ κακώσεων, διὰ τοῦτο βοῶμέν σοι. Ἡμῶν τὰς αἰτήσεις πλήρου πάντοτε.

'Ωδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἐνεργῶν ἐν τοῖς θαύμασι, πάθη θεραπεύεις Πάτερ ἀνίατα, καὶ παρέχεις τὰ αἰτήματα, τοῖς εἰλικρινῶς σὲ μακαρίζουσι.

Πάσης βλάβης ἀπάλλαξον, καὶ ὀργῆς καὶ λύπης γεννώσης θάνατον, τοὺς καλοῦντας εἰς βοήθειαν, Βλάσιε παμμάκαρ τὸ σὸν ὄνομα.

www.tezaurliturgic.ro

Ἐμφανὴς πέλει ἅπασιν, ἡ σωτηριώδης σου χάρις Βλάσιε, δωρεὰν πᾶσι παρέχουσα, τῆς σῆς προστασίας τὰ γνωρίσματα.

Τῷ ἁγίῳ τεμένει σου, Πάτερ προσιόντες ἀεὶ καρπούμεθα, τῆς εὐνοίας σου τὰς χάριτας, καὶ τὰ σὰ κηρύττομεν θαυμάσια.

Θεοτοκίον

Ὁλοτρόπως δεδούλωμαι, πάσῃ ἁμαρτίᾳ ὁ ἀσυνείδητος· ἀλλὰ σύ με ἀνακάλεσαι, πρὸς εἰλικρινῆ Κόρη μετάνοιαν.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ὕψωσον ἡμᾶς, ἐκ βυθοῦ παθῶν μακάριε, πρὸς ὑψώσεις οὐρανίων ἀρετῶν, ἱεραῖς σου πρὸς Ὕψιστον δεήσεσι.

Σκέπη ἀσφαλής, βοηθὸς καὶ καταφύγιον, ἔσο πάντοτε ἡμῖν θαυματουργέ, τοῖς προστρέχουσι τῇ θείᾳ ἀντιλήψει σου.

Ὅρμος νοητός, ὁ ναός σου ὤφθη Βλάσιε, ᾧ προστρέχοντες κυμάτων χαλεπῶν, τῶν τοῦ βίου περιστάσεων λυτρούμεθα.

Θεοτοκίον

Ὕπουλον ἐχθρόν, δολερῶς μοι ἐπερχόμενον, κατασύντριψον τῇ σῇ ἐπισκοπῇ, Θεοτόκε σωτηρία μου καὶ λύτρωσις.

Ὠδὴ ς΄. Τὴν δέησιν.

Σωμάτων καὶ τῶν ψυχῶν ἰατῆρα, ὁ τῶν ὅλων σε ἀνέδειξε Κτίστης, θαυματουργὲ ἱερώτατε Πάτερ· ὅθεν ἡμῶν τὰ δεινὰ πάθη ἴασαι, καὶ ἄφεσιν ἁμαρτιῶν, τὸν Χριστὸν ἡμῖν δοῦναι ἱκέτευε.

Ἰάσεις παντοδαπὰς ἀναβλύζων, ἐκ πηγῶν τοῦ σωτηρίου ἀφθόνως, τὰς τῶν βροτῶν θεραπεύεις ὀδύνας, καὶ ἐκδιώκεις ἀκάθαρτα πνεύματα, καὶ ἀσθενείας φθαρτικάς, ἰσχυρῶς ἀπελαύνεις μακάριε.

Κακίας τῆς τοῦ κακίστου Βελίαρ, ἐλευθέρωσον ἡμᾶς Ἱεράρχα, καὶ τῆς αὐτοῦ ἐπηρείας καὶ βλάβης, διὰ παντὸς ἀνωτέρους διάσωζε, ὦ Βλάσιε θαυματουργέ, τοὺς πρὸς σὲ ἀφορῶντας ἐκ πίστεως.

Θεοτοκίον

Ἐτέχθη ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ὁ τὰ πάντα ἐκ μὴ ὄντων ποιήσας, δίχα τροπῆς καὶ συγχύσεως Κόρη, καὶ τῆς φθορᾶς τοὺς ἀν-

www.tezaurliturgic.ro

θρώπους ἀπήλλαξε· ὅθεν καμὲ φθοροποιῶν, λογισμῶν καὶ παθῶν ἐλευθέρωσον.

Διάσωσον Ἱερομάρτυς Κυρίου Βλάσιε Πάτερ, τοὺς ἐν πίστει τῇ σοὶ πρεσβείᾳ προστρέχοντας, ἐκ πάσης νόσου καὶ θλίψεως καὶ ἀνάγκης.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τῆς τῶν παθῶν καταιγίδος ἀπάλλαξον, καὶ συνοχῆς χαλεπῶν περιστάσεων, τοὺς πίστει αἰτοῦντας τὴν χάριν σου, ὡς πρεσβευτὴς πρὸς Χριστὸν ἡμῶν μέγιστος, ὦ Βλάσιε Πάτερ Θεόσοφε.

**Προκείμενον.**

**Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...**

**Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθίσει...**

**ΕΥΑΓΓΕΛΙΟΝ τοῦ Ἁγίου, τῆς 11ης Φεβρουαρίου.**

**Δόξα. Ταῖς τοῦ Ἱεράρχου...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Προσόμοιον.**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...**

Μύστης ἱερώτατος, καὶ ἀληθὴς Ἱεράρχης, καὶ Μάρτυς ἀήττητος, τοῦ Σωτῆρος πέφηνας Πάτερ Βλάσιε, ὦ καὶ νῦν πρέσβευε, ἐκτενῶς Ἅγιε, πάσης βλάβης ἡμᾶς ῥύεσθαι, καὶ πάσης μάστιγος, καὶ ὀδυνηρῶν περιστάσεων, τοὺς πίστει καταφεύγοντας, τῷ σεπτῷ ναῷ σου ἑκάστοτε. Σὺ γὰρ ἡμῶν ὤφθης, θερμότατος μεσίτης πρὸς Θεόν, διὸ τὴν σὴν ἐξαιτούμεθα, χάριν τὴν σωτήριον.

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τῶν θαυμάτων τῇ αἴγλῃ, τῶν παθῶν διαλύεις δεινὴν σκοτόμαιναν· καὶ νῦν ἡμῶν τῶν νόσων, κατάσβεσον τὴν φλόγα, πρεσβειῶν σου τοῖς νάμασι, Βλάσιε Πάτερ σοφέ, τῶν εὐσεβῶν προστάτα.

Ἀσθενοῦσι τὴν ῥῶσιν, καὶ τοῖς πάσχουσι Πάτερ νέμων τὴν ἴασιν,

www.tezaurliturgic.ro

ταχύτατος προστάτης, καὶ ῥύστης ἐν ἀνάγκαις, τοῖς κραυγάζουσι πέφηνας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σωτηρίας λιμένα, καὶ ἀχείμαστον ὅρμον εὑρόντες Ἅγιε, Μονήν σου τὴν ἁγίαν, προστρέχομεν ἐν ταύτῃ, καὶ γαλήνην εὑρίσκομεν, ἐν τρικυμίαις πικραῖς, καὶ ζάλαις τοῦ βίου.

Θεοτοκίον

Γνοὺς τὸ θέλημα Κόρη, τοῦ Υἱοῦ σου ἀφρόνως αὐτὸ οὐκ ἔπραξα· διό με τῆς μελλούσης, ἐκλύτρωσαι βασάνου, καὶ μετάνοιαν δίδου μοι, κἂν ἐν ὑστάτῃ ῥοπῇ, Χριστῷ εὐαρεστῆσαι.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ἔχει σε Πάτερ, τῶν εὐσεβῶν ἡ χορεία, ἑτοιμότατον ἐν πᾶσι προπρομηθέα· ὅθεν τῶν θαυμάτων, κηρύττει σου τὴν χάριν.

Ῥύου ἀπαύστως, ἐπιστασίᾳ σου θείᾳ, τὴν περίοικον ταύτην Ἱερομάρτυς, πάσης δυσπραγίας καὶ συνοχῆς καὶ βλάβης.

Ἀρρωστημάτων, ἐπιφορὰς ὀλεθρίους, ἀναχαίτισον τῇ χάριτί σου Πάτερ, ἐκ τῶν προσιόντων, τῇ θείᾳ σου πρεσβείᾳ.

Θεοτοκίον

Σύντριψον Κόρη, τῇ κραταιᾷ σου πρεσβείᾳ, τὸν ὑπούλως με συλῶντα καθ᾽ ἑκάστην, πονηραῖς ἐννοίαις ἐχθρὸν τὸν παλαμναῖον.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ἰσχὺν ἡμῖν παράσχου, Βλάσιε παμμάκαρ, ἐν ταῖς τοῦ βίου δειναῖς περιστάσεσιν, ὡς ἂν ἀνώτεροι ἁπάσης ὀφθῶμεν θλίψεως.

Μονῇ σου τῇ ἁγίᾳ, τοὺς προσερχομένους, τῆς σῆς χαρᾶς Πάτερ Βλάσιε πλήρωσον, καὶ ἀθυμίας τὴν λύπην μακρὰν ἀπέλασον.

Ὀδύνης ὀλεθρίου, καὶ πάσης ἀνάγκης, καὶ νοσημάτων ἀτρώτους διάσωζε, τοὺς σὲ θερμὸν κεκτημένους προστάτην Βλάσιε.

Θεοτοκίον

Ὑπερδεδοξασμένη, μόνη Θεοτόκε, τῆς τῶν παθῶν ἀδοίας ἀπάλλαξον, τοὺς ὀρθοδόξῳ καρδίᾳ σε μεγαλύνοντας.

**Τὸ ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.**

Χαίροις Ἱεράρχα θαυματουργέ, Βλάσιε τρισμάκαρ, Ἀθλοφόρων

www.tezaurliturgic.ro

ὁ κοινωνός· χαίροις Σεβαστείας, ὁ θεῖος ποιμενάρχης, καὶ Ἐκκλησίας πάσης μέγα προπύργιον.

**Χ**λαῖναν ἐνδυσάμενος ἱεράν, τῶν ἀρχιερέων, ἀνεδείχθης τύπος λαμπρός, καὶ σοφῶς ποιμάνας, τὴν σοὶ λαχοῦσαν ποίμνην, ὑπὲρ Χριστοῦ νομίμως, ἤθλησας Βλάσιε.

**Χ**άριτι θαυμάτων μεγαλυνθείς, ἅπασι παρέχεις, τὰ αἰτήματα συμπαθῶς, καὶ ἴασαι νόσους, ψυχῶν τε καὶ σωμάτων, Χριστοῦ Ἱερομάρτυς, Βλάσιε Ὅσιε.

**Π**άντας τοὺς προστρέχοντας εὐλαβῶς, τῇ σεπτῇ Μονῇ σου, Πάτερ Βλάσιε ἱερέ, φύλαττε ἀτρώτους, ἐκ πάσης ἐπηρείας, καὶ πλήρου τὰς αἰτήσεις, τούτων ἑκάστοτε.

**Λ**όγοις σου θαρρύνας τοῖς ἱεροῖς, τὰς σεμνὰς γυναῖκας, πρὸς ἀγῶνας ἀθλητικούς, ὁμοῦ καὶ τοὺς παῖδες, σὺν τούτοις ἐκδυσώπει, ὑπὲρ τῶν σὲ τιμώντων, Βλάσιε ἔνδοξε.

**Χ**αίρει εὐσεβούντων πᾶσα πληθύς, τῇ σῇ ἀντιλήψει, λυτρουμένη πάσης ὀργῆς, διὸ καὶ βοᾷ σοι· ἐκ πάσης δυσχερείας, ἀτρώτους ἡμᾶς σῶζε, ἀεὶ ὦ Βλάσιε.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείας εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ τρισάγιον, τὰ συνήνη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς:**

**Ἦχος δ'. Ὅτε ἐκ τοῦ ξύλου.**

**Ἔ**χων παρρησίαν πρὸς Χριστόν, οἷα θαυμαστὸς Ἱεράρχης, καὶ Ἀθλητὴς ἱερός, Βλάσιε μακάριε, ἀπαύστως πρέσβευε, πάσης θλίψεως ρύεσθαι, καὶ ἀσθενημάτων, καὶ πικρῶν συμπτώσεων, καὶ συμφορῶν χαλεπῶν, πάντας τοὺς προτρέχοντας Πάτερ, τῇ σῇ κραταιᾷ προστασίᾳ καὶ τοὺς σοὺς ἀγῶνας μακαρίζοντας.

**Δ**έσποινα πρόσδεξαι...
**Τ**ὴν πᾶσαν ἐλπίδα μου...

**Δίστιχον.**

**Βλαστάνειες με Βλάσιε καρποὺς ἁγίους**
**Γεράσιμον ἀξίωσον σὲ ὑμνοῦντα.**